




GREGOR.
NAZANZ.
GR·LAT
BIBLIOTECA NAZIONALE CENTRALE-FIRENZE
RACCOLTA NENCINI
ALDINE
I
5
39










BIBLIOTECA NAZIONALE CENTRALE-FIRENZE
ALDINI
I
5
39
RACCOLTA NENCINI


OTIVM
SINE LITERIS
MORS EST
Seneca.
Ex Libris Joannis Nencini
1874.

int.°

Emtus Avenione X° Kal. Feb. cIↄIↄcccIII

Aldus Romanus omnibus unà cum græcis literis, sanctos etiam mores discere cupientibus. S. P. D.

Gregorii episcopi Nazanzeni carmina ad bene, beateq; uiuendum utilissima nuper e græco in latinum ad uerbum ferè tralata imprimenda curauimus studiosi adolescentes, rati non parum emolumenti uobis futurum, si id genus tralationis cum græco diligenter conferatis, nam & græce simul discetis, & christiane uiuere, quandoquidem summa in illis & doctrina est, & gratia, & sanctis moribus mire instituunt adolescentes. Id uero ita sit, necne, conferendo cognoscite. Valete.



GREGORII THEOLOGI EPISCOPI NAZANZI DE REBVS SVIS CARMINA, PER QVAE HORTATVR LATENTER NOS AD CHRISTIANE VIVENDVM.

C Hriste Rex, qui puris olim eleuatis palmis
Cruciformibus Mosis in monte tui serui,
Declinasti Amalec pernitiosum robur, qui'q; tensis
Manibus in fouea a Daniele graues leonum
Hiatus, & horrendas unguium uinxisti acies,
Per quem & a magno cete exiluit Ionas
Precatus, & manibus intra uiscera extensis.
In flamma uero assyria roscida nebula circum occulit
Fidentes tres pueros, postquã manus expanderunt.
Qui olim supra totum feruens mare pedestris ingressus
Vndas, & uentorum Robur sopisti, ut discipulos
E pelago educeres agitato a flatibus,
Multis uero rursus, animas'que & membra soluisti a morbis
Vt pote deus, factus autem homo, mortalibus admixtus es.
Ex qbus, illud qdẽ eras a primordio, hoc uero postremo nobis apparuisti
Vt me deum efficeres, postq̃ mortalis ipse factus es.
Sic beate & mihi deus propitius, ut me salues,
Sic beate & mihi deus propitius ueni uocanti.
Veni manum ferens deus propitius, ut me salues
In bello, & feris, & in flamma, & uentis
Vexatum, & solum in cœlum oculum ferentem.
Et enim sane, feræ'q; & aspera unda maris,
Et pugna luctuosa, & ardentis ignis impetus,
Omnia mali sunt uitæ corruptores uiri.
Qui sane deum amanteis odere maxime.
Neq; iustitiam timentes in posterum occurentem,
Neq; mortalium curantes, quicunq; odere peccatorẽ,
Ab his me cohibe Christe, & decenter me serua

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΑΖΙΑΝΖΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΕΑΥΤΟΝ ΕΠΗ. ΔΙ' ΩΝ ΠΑΡΟΞΥΝΕΙ ΛΕΛΗΘΟΤΩΣ ΗΜΑΣ ΠΡΟΣ ΤΟΝ ΕΝ ΧΡΙΣΤΩ ΒΙΟΝ.

Χριστὲ ἄναξ, ὃς ἁγναῖς ποτ' ἀειρομέναις παλάμῃσι
Σταυροτύποις Μωσῆος ἐπ' οὔρεϊ σεῖο θεράποντος
Ἔκλινας Ἀμαλὴκ ὀλοὸν σθένος. ὅστε τα θείσαις
Χείρεσιν ἐν βόθρῳ Δανιὴλ ὑπὸ δεινὰ λεόντων
Χάσματα καὶ φικτὰς ὀνύχων ἐπέδησας ἀκωκάς.
Ὃν δ' αὖ καὶ μεγάλου ἀπὸ κήτεος ἔκθορ' Ἰωνᾶς
Ἐυξάμενος, καὶ χεῖρας ἐνὶ σπλάγχνοισι τανύσσας.
Ἐν φλογὶ δ' ἀσυνείῃ δροσερὸν νέφος ἀμφεκάλυψε
Θαρσαλέους τρεῖς παῖδας, ἐπεὶ χέρας ἐξεπέτασσαν.
Ὅς ποθ' ὅλην ξείουσαν ὑπεὶρ ἅλα πεζὸς ὁδεύσας,
Κύματα καὶ ἀνέμφορον μένος ηὔνασας, ὥσκε μαθηταῖς
Ἐκ πελάγοις ῥύσειας ὀρινομένους ὑπ' ἀήταις.
Πολλοῖς δ' αὖ ψυχάς τε καὶ ἅψεα λύσαο νούσων
Οἷα θεός. κρανθεὶς δὲ βροτὸς, θνητοῖσιν ἐμίχθης.
Ὢν τὸ μὲν ἦσθα ἄνωθε, τὸ δ' ὕστατον ἄμμι φαάνθης,
Ὥς με θεὸν τελέσειας, ἐπεὶ βροτὸς αὐτὸς ἐτύχθης.
Ὦ δὲ μάκαρ καὶ ἐμοὶ θεὸς ἵλαος, ὥς με σαώσῃς.
Ὦ δὲ μάκαρ καὶ ἐμοὶ θεὸς ἵλαος ἐλθὲ καλοῦντι.
Ἔλθ' ὧδε χεῖρα φέρων θεὸς ἵλαος, ὥς με σαώσῃς
Ἐν πολέμῳ, καὶ θηρσί, καὶ ἐν φλογί, καὶ ἀνέμοισι
Τειρόμενον, καὶ μοῦνον ἐς οὐρανὸν ὄμμα φέροντα.
Καὶ γὰρ δὴ θῆρές τε, καὶ ἄγριον οἶδμα θαλάσσης,
Καὶ δήϊος στονόεσσα, καὶ αἰθομένου πυρὸς ὁρμή,
Πάντα κακοὶ τελέθουσι βίου δηλήμονες ἄνδρες.
Οἵ ῥα θεὸν φιλέοντας ἀπεχθαίρουσι μάλιστα.
Οὔτε δίκην ζομέοντες ἐς ὕστερον ἀντιόωσαν,
Οὔτε βροτῶν ἀλέγοντες, ὅσοι στυγέουσιν ἀλιζόν.
Τῶν μ' ἀποέργαθε χριστὲ, καὶ ἐνδυκέως με φύλαττε,

2

Ἀ μφω ἴσ' ἔχων πτερύγεσσι τεαῖς. τὰ κήδεα λυγρὰ
Σ εῖο ἄναξ θεράποντος ἑκὰς βάλε. μὴ δὲ βαρεῖαι
Μ έρμηραι δονέοιεν ἐμὸν νόον, ἃς ὅδε κόσμος
Κ αὶ κόσμου μελέων ἀλλοῖος μερόπεσσιν ἐγείρει,
Δ άπτων οἷα σίδηρον ἰὸς θεοειδέα μορφὴν
Ἔ νδοθι, συμφυέα τε πιθεὶς χθονὶ κρείσσονα μοίρην,
Ὥ ς μὴ χοῦν ἐρύσειεν ἄνω βριθόν τ' ἐνθάδε γαῖαν
Ψ υχή. χοῦς δὲ βάλοι ψυχὴν πτερόεσσαν ἔραζε
Δ ύσμορον, ἰλυόεσσαν ἐν ἔργμασι σαρκωθεῖσαν.
Δ οιαὶ γάρ τε πύλαι θνητοῖς στυγεροῦ θανάτοιο.
Κ αὶ ῥ' οἱ μὲν κακίης δολερὴν φρεσὶν ἔνδοθι πηγὴν
Τ ίκτουσιν. τοῖς αἰὲν ἀτάσθαλα ἔργα μέμηλε.
Κ αὶ δέμας, ὑβριστής τε κόρος, καὶ κήδεα λυγρά.
Ο ἵ σφέας ὀτρύνοντες ὑπερβασίην ἐς ἅπασαν
Τ έρπον τ' ἀμπλακίῃ, σφέτερον μόρον ἀμφαγαπῶντες.
Ο ἱ δὲ θεὸν καθαρῇσι νόου λεύσσοντες ὀπωπαῖς,
Κ αὶ κόσμου στυγέοντες ἀναιδέος ἔκγονον ὕβριν,
Λ υπροῦ ἐκὰς ζώουσιν βιότου σκιοειδέϊ σαρκί.
Κ αὶ γαῖαν πατέουσιν ἐλαφροτέροισι πόδεσσιν,
Ἑ σπόμενοι καλέοντι θεῷ, καὶ πνεύματι κοῦφοι
Μ ύσται κρυπτομένης ζωῆς χριστοῖο ἄνακτος.
Ὥ ς κεν καμπομένης ὅτ' ἐς ὑγρὸν ἀσπαλιῶσιν.
Ἀ λλὰ καὶ ὣς βιότοιο κακοῖς πείρονται ἀκάνθαις
Χ ερσὶ ἀναγκαίῃ, καὶ ἔκτοθι μυρία δαίμοσιν
Λ υσσήεις κακοεργὸς ἐμήσατο κέντρα μόροιο,
Ἆ μελέοις θνητοῖσι. καὶ εἴδεϊ πολλάκι κεύθων
Ἐ σθλῷ λυγρὸν ὄλεθρον, ὅτ' ἀντίβια πτολεμίζων
Χ άζηται. τοῖον γὰρ ἐπ' ἀνθρώποισι λοιγὸν ὑφαίνει,
Ο ἷον ὑπ' εἴδεϊ χαλκὸς, ὅτ' ἰχθύσι κῆρα φέρησιν.
Ὃ ι ζωὴν ποθέοντες, ἐνὶ σπλάγχνοισιν ὄλεθρον
Ἔ ιρυσαν ἀπροΐδη, σφέτερον μόρον ἀμφιχανόντες.
Ὥ ς τε ἐμοὶ δολόμητις, ἐπεὶ ζόφον ὄντα μιν ἔγνων,
Ἑ σσάμενος χρόα καλὸν ἐπήλυθε φωτὶ ἐοικώς.
Α ἴ κέν πως ἀρετὴν ποθέων κακίῃ πελάσαιμι,
Κ λεπτομένου πρὸς ὄλεθρον ἐλαφροτέροιο νόοιο.
Ο ὔ με γάμος δ' ἐπέδησε, βίου ῥόος, ὅν τε μέγιστον

Circum continens alis tuis, & dolores molestos
Tui rex serui longe iacito, neque graues
Curæ agitent meam mentem, quas hic mundus,
Et mundo imperans miseris mortalibus excitat,
Lanians ueluti ferrum rubigo deiformem formam
Interius, cognatam'q; ponens terræ præstantiorem partem
Ne puluerem trahat supra grauantem in terram
Anima, puluis uero prosternat animam alatam humi
Infelicem luteis in operibus incarnatam.
Duæ etenim ianuæ mortalibus odiosæ mortis.
Et hi quidem uitii turbidum intra mentes fontem
Pariunt, quibus semper iniusta opera curæ sunt,
Et corpus, contumeliosa'q; satietas, & consilia mala.
Qui se hortantes præuaricationem in omnem,
Delectantur errore, suam mortem peramantes.
Illi uero deum puris mentis intuentes oculis,
Et mundi perosi impudentis filiam contumeliam
Molesta longe uiuunt a uita umbratili carne,
Et terram calcant leuioribus pedibus
Sequentes uocantem deum, & spiritu leues
Sacerdotes occultæ uitæ Christi regis,
Vt splendente olim in posterum fulgeant.
Sed & sic uitæ malis uexantur spinis
Necessitate urgente & exterius infinitos dæmon
Rabidus, maleficus machinatus est aculeos mortis,
Ah miseris mortalibus, & specie sæpenumero occulens
Bona pernitiem malam, cum aduersum pugnans
Cedat, talem enim in uiris pernitiem tegit,
Qualem sub aqua metallum, cum piscibus mortem affert.
Qui uitam cupientes intra uiscera pernitiem
Traxere improuisam, suam mortem absorbens
Sic & mihi doliconsultus, postq̃ tenebras esse eum noui,
Amictus pulchrum corpus accessit uiro assimilatus,
Siquo pacto uirtutem cupiens uitio adhærerem.
Occlusa ad pernitiem leuiori mente
Non me nuptiæ deuinxerunt, uitæ fluxus, quodq; maximum

3

Vinculum in hominibus materia iecit oneris principium,
Neque sumpsi serum pulchras texturas, neq; mensam
Admiratus sum splendidam percapacem uentrem pascens
Libidinis parentem. pernitiosum. neq; domibus
Habitare in magnis, ac splendidis concupiui.
Non musæ mollibus in sonis animum oblectaui.
Neque unguentorum mollis me percurrit muliebris uapor
Aliorum uero rursus, aurum'q; & argentum, qui soliti
Innumeris facultatibus insidendo curas habere,
Paruum oblectamentum habent, multũ laborem, uerũ mihi sane
Panis biscoctus amicus, dulce autem obsonium, sales, rudis mẽsa,
Sobria uero ad hæc aqua potus. hæ optimæ
Diuitiæ mihi, & Christus meam mentem semper eleuans,
Non terræ triticiferæ iugera, & nemora pulchra,
Neque boum armenta, neque greges pingues ouium,
Neque cari serui meum genus, quos sane tyranni's
Scidit uetus, & nomen imposuit duplex,
Nobiles, seruos'q; una e terra creatos,
Vel terra uel Deo, lex autem insecuta est erronea,
Nequaquam mihi opus est flatu celerrime fluente
Virili honore, & gloria pereunte.
Non magnum a rege habere honorem intra aulam.
Neque me iudicii tribunaliũ unquam cepit desideriũ, quibus de/
Inclytus præsidens supra supercilia eleuationẽ tollere. (berem
Neque me sane in ciuitatibus habere robur, uel ciuibus
Delectatum falsis, & infirmis insomniis
Alias ad alium euntibus, circum, uolitantibusq; similiter.
Vel manibus carpentem præter ruentia fluenta,
Vel umbram ut solidam, inque nebula manus mittentem,
Aut umbram in manibus habere, aut nebulam attrectare.
Talis enim est hominum generatio. tales uero & diuitiæ.
Diuitiæ infirmissimis similes uestigiis nauis
Ante impressis & pereuntibus retro.
Sola mihi amica erat disciplinarum gloria, quas collegerunt
Ortus'que, occasus'que, & greciæ gloria Athenæ
In quibus multum laboraui longum tempus. sed & ipsas

Δεσμὸν ἐπ' ἀνθρώποισιν ὕλη βάλεν ἄχθεος ἀρχήν.
Οὐ γ' ἕλεν ἠπείρων καλὰ κτήματα, οὐδὲ τράπεζαν
Ηγάθεην λιπαρήν, πολυχανδέα γαστέρα βόσκων
Μαχλοσύνης μήτειραν ἀτάσθαλον. οὐδὲ δόμοισι
Ναίειν ἐν μεγάλοισι καὶ αἰγλήεσσι φίλησα.
Οὐ μούσης ἀταλοῖς ἐνὶ κρούμασι θυμὸν ἰαίνειν.
Οὐδὲ μύρων μαλακή με διέδραμε θῆλυς ἀϋτμή.
Ἄλλων δ' αὖ χρυσός τε καὶ ἄργυρος. οἱ φιλέοντες
Νηρίθμοις κτεάτεσσιν ἐφεζόμενοι μελεδαίνειν,
Βαιὸν τέρψιν ἔχουσι. πολὺν πόνον. αὐτὰρ ἔμοιγε
Μάζα φίλη. γλυκὺ δ' ὄψον ἅλες. λιτὴ δὲ τράπεζα.
Νηφάλιον δ' ἐπὶ τοῖσιν ὕδωρ ποτόν. οὗτος ἄριστος
Πλοῦτος ἐμοί. καὶ Χριστὸς ἐμὸν νόον αἰὲν ἀείρων.
Οὐ γῆς πυροφόρου γυῖαι καὶ ἄλσεα καλά.
Οὐδὲ βοῶν ἀγέλαι, καὶ πώεα πίονα μήλων.
Οὐδὲ φίλοι θρέψαντες ἐμὸν γένος, ὅς ῥα τυραννὶς
Ἔσχισεν ἀρχαίη, καὶ οὔνομα θήκατο δισσὸν,
Εὐγενέας δμῶάς τε μιῆς χθονὸς ἐκγεγαῶτας,
Ἠ χθονὸς ἠὲ θεοῖο. νόμος δ' ἐπέασσε τ' ἀλιτρός.
Οὐδέ τι μοι χρεὼ πνοιῆς ὤκυτα ῥεούσης
Ἀνδρομένης τιμῆς, καὶ κύδεος ὀλλυμένοιο.
Οὐ μέγα παρ βασιλῆος ἔχειν γέρας ἔνδοθεν αὐλῆς,
Οὐδὲ δίκης με θρόνων πόθ' ἕλεν πόθος, οἷσιν ἔμελλον
Κλεινὸς ἐφεδρήσσων ὑπὲρ ὀφρύας ὕψος ἀείρειν.
Οὐδέ με γ' ἐν πολέεσσιν ἔχειν σθένος, ἢ πολιήταις,
Τερπόμενον ψεύστῃσι, καὶ ἀδρανέεσσιν ὀνείροις
Ἄλλοτ' ἐπ' ἄλλον ἰοῦσιν, ἀμφιπεπταμένοισί θ' ὁμοίως.
Ἠ παλάμαις μάρπτοντα πταΐσσοντα ῥέεθρα,
Ἢ σκιὰν ὡς στρεβλῶ. ἐπεί τ' ἀχλύϊ χεῖρας ἰόντα.
Ἢ σκιὰν ἐν χείρεσσιν ἔχειν, ἢ ἀχλὺν ἀφάσσειν.
Τοίη γὰρ μερόπων γενεή. τοῖος δὲ καὶ ὄλβος.
Ὄλβος ἀφαυροτάτοισιν ὁμοίϊος ἴχνεσι νηός,
Πρόσθε χαρασσομένοισι καὶ ὀλλυμένοισιν ὄπισθεν.
Μοῦνον ἐμοὶ φίλον ἔσκε λόγων κλέος, οὓς συνάγειραν
Ἀντολίη τε, δύσις τε, καὶ Ἑλλάδος εὖχος Ἀθῆναι.
Τοῖς ἔπι πόλλ' ἐμόγησα πολὺν χρόνον. ἀλλὰ καὶ αὐτοὺς

4

Πρὶν ἑὸν ἐν δαπέδῳ Χριστοῦ προπάροιθεν ἔθηκα
Εἴξαντας μεγάλοιο θεοῦ λόγῳ. ὅς ῥα καλύπτει
Πάντα φενὸς βροτέης στρεπτὸν πολυειδέα μῦθον.
Ἀλλὰ τὰ μὲν ὑπάλυξα. τὸ δ' οὐ φύγον ἔχθος ἄπιστον,
Δυσμενέος λοχόωντος ἐν εὐμενέοντι προσώπῳ.
Ἐξερέω δ' ἀναφανδὸν ἐμὴν πάντεσσιν ὀϊζύν.
Ὥς κέν τις σκολιοῖο νοήματα θηρὸς ἀλύξῃ.
Ὠϊόμην τοκέεσσι παρήμενος, ὦ ἄνα Χριστὲ,
Γήραΐ τε στυγερῷ καὶ πένθεϊ τειρομένοισιν,
Οἷς μοῦνος τεκέων περιλείπομαι ἐλπὶς ἀμυδρὴ,
Λαμπάδος ἐκ μεγάλης τυτθὸν σέλας οὐκέτ' ἐούσης,
Σοί, μάκαρ, ἠδὲ νόμοισι τεοῖς κεχαρισμένα ῥέζειν.
Ὡς θνητοῖς ἐπίκουρον ἔχειν σθένος ἧας ὅπασσας,
Καὶ ζομβροῖσ' ἅτε βάκτρον ὑπὸ μελέεσσιν ἐρείδειν.
Καὶ γὰρ δὴ πάντων περιώσιον, οἷσι ἵκωσιν,
Εὐσεβίῃ τε μέλοιτο, καὶ ἀργαλέου βιότοιο
Πήματ' ἀλευόμενοι, προμνήστια σοῖσιν ἀνῆψαν
Ἀχράντοις θεσμοῖσι. σὺ δ' ἔσφισι τέρμα καὶ ἀρχή.
Ἡ μὲν ἄρ' ἐκ πατέρων θεοτερπέα πίστιν ἄγουσα,
Σειρὴν χρυσείην περιβάλλετο παισὶν ἑοῖσιν
Ἄρσενα θυμὸν ἔχουσα ἐν εἴδεϊ θηλυτεράων.
Ἧσσον ἐφαπτομένη γαίης, κόσμου τ' ἀλέγουσα,
Τόσσον ἐς οὐρανίην ζωὴν ὤσαθ' ἅπαντα
Τόνδε βίον. κούφη δὲ πρὸς αἰθέρα ταρσὸν ἀείρει.
Αὐτὰρ ὅγ' ἀγριέλαιος ὑπ' εἰδώλοισι πάρος ἦεν
Ζώων, ἀλλ' ἐπάγη καλῆς ὑπὸ πυθμέν' ἐλαίης.
Καὶ τόσον εὐγενέος εἴξησ' χάδεν, ὥστε καλύψαι
Δένδρεα, καὶ πολλοὺς κορέσαι μελιηδέϊ καρπῷ.
Ἀμφότερον πολιός τε νόον, πολιός τε κάρηνον,
Μείλιχος, ἡδυεπής, Μωσῆς νέος, ἤ τις Ἀαρὼν,
Μεσσηγὺς μερόπων τε, καὶ οὐρανίοιο θεοῖο
Ἑστηκὼς, καθαροῖς τε τελέσμασι καὶ θυέεσσιν
Ἡμετέροις, οἷά τε θύει νόος ἔνδοθεν ἁγνὸς
Θνητοὺς, ἀθάνατόν τε θεὸν μέγαν εἰς ἓν ἀγείρων.
Τοίου παιδὸς ἐγὼ καὶ μητέρος, οἷσιν ἐρίζειν
Οὐ θέμις. ἀλλήλοισι δ' ἐριζέμεν ὅττι μεγαίρω.

P ronas in solo ante christum posui
C edentes magni dei uerbo, qui sane tegit
O mnem mentis mortalis uersilem multiformem sermonem,
S ed illa quidem subterfugi, nõ fugi aũt inimicitiã insidã
H ostis insidiantis in beneuola persona,
E disseram autem palam meam omnibus molestiam,
V t quis obliquæ cõmenta feræ effugiat,
E xistimabam parentibus assidens o rex christe,
S enectuteq; odiosa & luctu uexatis,
Quibus solus ex filiis relinquor spes tenuis,
F ace ex magna parua lux non amplius existente,
T ibi o beate & legibus tuis grata facere,
Qui mortalibus adiutorium habere robur filios præbuisti,
E t tremulis ueluti baculum sub membris firmare,
E tenim sane omnium maxime, qui te uenerantur,
P ietatiq; curæ sunt, & difficilis uitæ
D etrimenta fugiunt, rudentes tuis alligarunt
I mmaculatis legibus, tu autem illis finis es & principium.
Mater quidẽ igitur ex parentibus deo delectabilẽ fidẽ ducens
C athenam auream circumiecit filiis suis
M arem animum habens in specie mulierum.
Quantum attingens terram, mundiq; curam gerens,
T antum in celestem uitam cõpelleret omnem
H anc uitam, leuis uero ad ætherem calcem tollere.
A t uero pater oleaster sub simulachris antea erat
A nimalium, sed impactus est pulchræ sub fundo oleæ,
A c tantum generosæ radicis cepit, ut occuleret
A rbores, & multos saturaret melliformi fructu.
V trũq; ciuitatisq; mens, ciuitatisq; caput,
B landus. iucũdiloquus, Moses nouus, aut Aron,
M edius, hominumq; & cælestis dei
S tans, purisq; operibus, & sacrificiis
N ostris, qualiaq; sacrificat mens interius munda
M ortales, immortalẽq; deum magnum in unum colligens.
T ali patre ego & matre, quibus cum certare
Haud fas, inter se autem certare minime inuideo

5

Hos quidem ego alens & tegens laborantes
Spebus fouebam meam mentem, ueluti optimũ quid
Peragens, naturæque fero debitum, erat uero utique illud
Verum, q̄ peccatoribus plena uia est ad barathrum.
Quando sane & mihi malum euenit ex bono.
Etenim frequentes me & difficiles curæ
Pascentes animãque & membra nocte & die.
E cœlo deducunt in humum matrem meam,
Primũ quidem seruis imperare, quod pernitiei
Rete, qui amaros quidem semper odere dominos,
Sacros autem calcant impudentes, neque malis
Mites, neque bonis obtemperantes, utrisque autem
Aculeos iræ spirantes supra mentem, uerum deinde
Facultatemque gubernare, & cæsaris onus in humeris
Semper habere uiolentasque ferre factoris minas,
Distributio enim hominibus liberum diem offendit
Insequens facultates, compes autem in labris sedet,.
Circaq; pleni fori turbam, atque tribunalia
Celsa mortalibus iurisdictionibus curæ habita
Versari, confessionibusque inferre perturbationem aduersariis
Atque lege uersilibus in retibus molestias pati,
Vbi pugnaq; laborq;, malique etiam plus habeat
Bonis, ac legum fautores, utrisq;
Venales, si uero malus qspiam habuerit plus, hic optimus.
Quis uero falsitates multas nectidolosq; effugiat
Sine deo? huiusmodi cum uiris, aut enim necesse est
Profligatim fugiendo malis omnia excutere,
Vel & erroribus denigrari amicum cor
Vt ignis uehementis malo adherentes uapori
Aut ignis aut fumi signa perniciosa ferentes.
Sed hæc qdem toleranda. illud uero molestius mihi sane ulcus
Quot fratre uitam hanc relinquente
Sustinui, & pati adhuc quidem spero, qui enim inspatis
Nocumentis inhæserunt, meliora non expectant.
Hoc sane ego uiuente habebam gloriã singularẽ præ ceteris
Non enim meas utiq; diuitiæ cepe mentes, neq; uis aliqua.

6

Τοὺς μὲν ἐγὼ κομέων τε καὶ ἀμφιέπων μογέοντας,
Ἐλπωρῇσιν ἔθαλπον ἐμὸν νόον, ὥς τι φέριστον
Ἐκτελέων, φυσίος τε φέρων χρέος. ἦν δ' ἄρ' ἐκεῖνο
Ἀζεκές, ὡς ἁλιζοῖο πλείη ὁδὸς ἐστὶ βερέθρων,
Ὁππότε δὴ καὶ ἐμοὶ κακὸν ἤλυθεν ἐξ ἀγαθοῖο.
Καὶ γὰρ πυκιναί με καὶ ἀργαλέαι μελεδῶνες
Βοσκόμεναι ψυχήν τε καὶ ἄλγεα νύκτα καὶ ἦμαρ,
Οὐρανόθεν κατάγουσιν ἐπὶ χθόνα μητέρ' ἐμεῖο.
Πρῶτον μὲν δ' ἡμώεσιν ἀνασχέμεν, οἷον ὀλέθρου
Δίκτυον, οἳ πικροὺς μὲν ἀεὶ στυγέουσιν ἄνακτας,
Τοὺς δ' ἱεροὺς πατέουσιν ἀναιδέες. οὔτε κακοῖσιν
Ἤπιοι, οὔτ' ἀγαθοῖσιν ὑπειθέες. ἀμφοτέροις δὲ
Κέντρα χόλου πνείοντες ὑπὲρ νόον. αὐτὰρ ἔπειτα
Κτῆσιν τ' ἀμφιέπειν, καὶ καίσαρος ἄχθος ἐπ' ὤμων
Αἰὲν ἔχειν, κρατερήν τε φέρειν πρηκτῆρος ὁμοκλήν.
Δασμὸς γὰρ μερόπεσσιν ἐλεύθερον ἦμαρ ἀΐζει
Ἑσπόμενος κτεάτεσσι. πέδη δ' ἐπὶ χείλεσι κεῖται,
Ἀμφί τε πληθούσης ἀγορῆς θρόον, ἢ δὲ θώκοις
Ὑψηλοῖς, θνητῇσι δικασπολίῃσι μέλοντας
Στρωφᾶσθαι, ῥήτραις τε φέρειν κλόνον ἀντιπάλοισιν,
Ἢ δὲ νόμῳ στρεπτῇσιν ἐν ἀρκύσιν ἄλγεα πάσχειν.
Ἔνθα μόθος τε πόνος τε, κακοὶ δ' ἔτι πλεῖον ἔχουσιν
Ἐσθλῶν. οἱ δὲ νόμων ἐπιτάρροθοι, ἀμφοτέροισιν
Ὤνιοι. ἢν δὲ κακός τις ἔχοι πλέον, οὐκ ὅσ' ἄρ' ἴσον,
Τίσκων ψεύδεα πολλὰ δολοπλοκίαις τ' ἀλέοιτο
Νόσφι θεοῦ, κρίσις δὲ μετ' ἀνδράσιν. ἢ γὰρ ἀνάγκη
Προτροπάδην φεύγοντα κακοῖς ἀπὸ πάντα τινάξαι,
Ἠὲ καὶ ἀμπλακίῃσι μελαίνεσθαι φίλον ἦτορ.
Ὥστε πυρὸς μαλεροῖο κακῇ πελάσοντας ἀϋτμῇ,
Ἢ πυρὸς, ἠὲ καπνοῦ σημήϊα λυγρὰ φέροντας.
Ἀλλὰ τὰ μὲν κ' ἐπίφυκτα. τὸ δ' ἄλγιον ἕλκος ἔμοιγε.
Ὅσσα κασιγνήτοιο βίον ἀπὸ τυνδὲ λιπόντος
Ἔτλην, καὶ παθέειν ἔτι γ' ἔλπομαι. οἱ γὰρ ἀέλπτοις
Πήμασιν ἐμπελάσαντες, ἀρείονα οὐ δοκέουσι.
Τοῦ μὲν ἐγὼ ζώοντος ἔχον κλέος οἷον ἀπ' ἄλλων.
Οὐ γὰρ ἐμὰς ποτε πλοῦτος ἐλέφηνας, οὐδέ τις ἀλκή.

Ἄ λγεα δὲ στοναχάς τε ἐπεὶ θάνε μοῦνος ἐδέγμην.
Χ ρήματα δ' ὅσσ' ἐπέπαστο, τὰ μὲν, λάβε γαῖα χανοῦσα
Ν ικαίης βρασμοῖσιν ὅτ' ἤρειπεν. ἄλλα δ' ἀλιτρῶν
Ἁ ρπάγδην παλάμῃσιν ἐλώρια θήκατο δαίμων.
Ἀ υτὸς δὲ κρυφθεὶς, μόρον ἔκφυγεν οὐρανίοιο
Χ εῖρα θεοῦ τανύσαντος ὑπὲρ τέγος, ἔνθάπερ ἦεν.
Ὤ μοι καισαρείοιο, πάρος γε μὲν ἐν βασιλείοις
Ἀ στὴρ ὥς τις ἔλαμπεν ἑωσφόρος, οὔνομα σεμνὸν,
Ἄ κρα φέρων σοφίης τε καὶ ἤθεος ἱμερόεντος,
Κ αὶ πολλοῖς σθεναροῖς τε φίλοισι κομῶν ἑτάροισι.
Π ολλοῖς μὲν μογεροῖς ἄκος ἔπλεο σώμασι νούσων.
Π ολλοῖς δ' αὖ πενίης λύσιν ὤπασας αἴσιμα ῥέζων.
Ν ῦν δὲ θανὼν, πολλοὺς κόρεσας κύνας, οἳ μὲν ὑλάουσι
Π αντόθεν ἑστάμενοι, πτωχῶν δέ μοι οὔτις ἀρήγει.
Π αῦροι δ' αὖ φιλέουσιν, ὁμοίϊα δυσμενέεσσι
Π είν τι λαβεῖν τίουσιν, ἀτὰρ στυγέουσι λαβόντες,
Ὡ ς δρυὸς ὑψικόμοιο βίαις ἀνέμοιο ῥιπούσης,
Κ λῶνας ἀφαρπάζουσι περισταδὸν ἄλλοθεν ἄλλος,
Ἢ μεγάλην φαγμοῖο διαρραισθέντος ἀλωὴν
Ν ηλέως ζυγόωσι παραζοχόωντες ὁδῖται,
Κ αὶ δρυμόθεν μονόφορβος ἑῷ δηλήσατ' ὀδόντι.
Ἀ υτὰρ ἐμοὶ πόνος ἐστὶν ἀγάστονος. ὅττι κορέσσαι
Π αύτας ἔτι σθένος ἐστὶν ἐμῆς χερὸς, οὔτ' ἀπερύκειν.
Ἐ ξ οὗ γὰρ πρόφυσον ἀποτμήξας βιότοιο
Ψ υχὴν οὐρανίοισι νοήμασι μίξα φαεινοῖς,
Κ αί με φέρων νόος αἰπὺς ἀπόπροθι σαρκὸς ἔθηκεν,
Ἔ νθεν ἀναστήσας, σκηνῆς δέ με κρύψε μυχοῖσιν
Ο ὐρανίης, τείως δὲ φάος περίλαμψεν ὀπωπὰς
Ἡ μετέρας, τῆς οὔτι φαάντερον εἰσενόησα
Ὑ ψιθρόνου, ξυνιόντι σέλας καὶ ἄφραστον ἰείσης,
Ἥ τ' ἀρχὴ πάντεσσιν, ὅσα χρόνος ὑψόθεν ἔργει,
Ἐ κ τοῦ δὴ κόσμῳ τ' ἔθανον, καὶ κόσμος ἐμοί γε.
Κ αὶ νέκυς ἔμπνοός εἰμι. τὸ δὲ σθένος οἷον ὀνείρων.
Ζ ωὴ δ' ἄλλοθι μοι. στενάχω δ' ὑπὸ σαρκὶ παχείῃ,
Τ ὴν ῥα σοφοὶ καλέουσι νόου ζόφον. ἰσχανόων δὲ,
Τ ῆς δὲ λυθεὶς βιοτῆς τε καὶ ὄψιος ἀχλυοέσσης,

D olores autem luctusq; postq̃ interiit solus recepi
F acultates aũt quascũq; possederat, partim q̃dẽ cepit terra hiãs
N icææ cum quassationibus corruit, alias uero peccatorum
D ireptim manibus laceramenta proposuit fortuna,
I pse uero tectus, mortem aufugit cœlesti
M anum deo tendente supra tectum, ubi erat,
H ei mihi ob Cæsarium. antea equidem in regiis
A strũ ueluti q̃ddam splendebas lucifer, nomen uenerabile
S ũma ferens sapientiæq; & moris desiderabilis,
E t multis ualidisque amicis elatus sociis,
M ultis q̃dẽ laboriosorũ medelã adiuenisti corporibus morborũ,
M ultis uero rursus pauptatis solutionẽ præbuisti fausta agens,
N unc aũt mortuus, multos saturasti canes, q me oblatrant
V ndique stantes, affiniũ autem mihi nullus opitulatur.
P auci uero rursus amant, eodem modo atque hostes
P riusq̃ qcq̃ accipiunt, colunt, uerum odere cum acceperint,
V eluti quercus celsicomæ uiribus uenti prostrata,
R amos arripiunt circũstanter aliunde alius,
V el magnam sepe discissa aream
C rudeliter uindemiant prætereuntes uiatores,
E t e silua aper solus pascens suo læsit dente.
V erum mihi dolor est luctificus, neque saturare
O mnes amplius uis est meæ manus, neque prohibere,
Ex quo enim primum diuellens a uita
A nimum cælestibus intellectionibus ĩmiscui illustribus
E t me ferens mens alta seorsum a carne posuit,
I nde erigens, scenæ autem me abscondit penetralibus
C œlestis, trinitatis autem lux illustrauit aspectus
N ostros, qua nihil lucidius intellexi
C elsisedis, cõmunẽque splendorem & indictum emittentis,
Quæ & principiũ omnibus est, quæcũque tẽpus desup cohibet
E x illo igitur, mundoque interii, & mundus mihi quoque,
E t cadauer spirans sum, robur aũt cuiusmodi somniorum,
V ita uero alibi mihi, lugeo autẽ sub carne crassa,
Quã sapientes uocant mentis tenebras. cupio autem
H ac solutus uitaq; & uisu nebuloso

A tq; humi incedentibus decipientibus, deceptisq;,
S tantem intueri purius, non amplius tenuibus
C ommixtim simulachris inuolutum ut prius,
Quibusq; & acutissimæ mẽtis decipiuntur aspectus,
I psam uero ueritatem puræ mentis oculo uidens.
S ed hæc quidem postea. ea uero quæ hic, fumus uilis,
A ut puluis, qui uita magnam uitam permutarunt
C elsam terrena, & firmam intereunte,
Quapropter & in me omnes irruebant, neq; uolunt
Cedere, festinantes paratissima m ad prædam.
H eu heu cæsarius autem tristis puluis, qui a me
T urbam omnem prohibebat dans omne onus effugere,
H onorans sicut nõdũ quis fratrẽ alius honorauit,
V eneransq;, ut siquis suum patrem adamans.
V erum ego non tantum lugeo, non uita
D issipata socium habere desiderauı pauperibus,
T anq̃ & ipse ens peregrinus hic profugus,
I n manum autem altissimi respiciens datricẽ bonorũ,
N on omnibus mortalibus inimicæ causa offensionis,
Quæ & mitem uirũ ira implet celerrime,
N eq; fratrum causa, quos mihi sepulchrum occulit
C ita morte, omnibus hominibus admirandos,
Quantũ meã animam deploro, ueluti reginam quandam,
P ulchramq;, magnamq;, & e nobilibus regibus,
I ntuens ualidis compedibus laborantem,
Quam lancea hostes ceperunt, grauiq; deuinxere
S eruitio, & mœsta in humum lumina figit.
H æc passus sum, taleq; etiam habeo sub corde uulnus.
V etus fama est, cum admouerit dentem
A mara uipera maleficium in uiro pestilens ulcus,
S olis hunc uelle dicere, quibus similem
P ernitiosa uipera ignea ira impressit pestem,
H anc enim sane & solam nosse, malus dolor,
Quemadmodum & ego illis meum laborem edisseram,
Quibus cõmunis amor, cõmune malum, dolor similis.
S oli etenim meum amice excipiant uerbum,

Καὶ χαμαὶ ἐρχομένων πελαζόντων πελαζομένων τε,
Ἔστ' ὅτ' εἰσορόωσαν καθαρώτερον, οὐκέτ' ἀμυδροῖς
Μίγδην εἰδώλοισι πεφυρμένον ὡς τὸ πάροιθεν,
Οἷς τε καὶ ὀξυτάτοιο νόου πλάζονται ὀπωπαί,
Αὐτὴν δ' ἀτρεκίην καθαροῦ νοὸς ὄμματι λεύσσων.
Ἀλλὰ τὰ μὲν μετόπισθε, τὰ δ' ἐνθάδε καπνὸς ἄτιμος,
Ἠ κόνις, οἳ βιότοιο μέγαν βίον ἠμάλδυντο
Ὑψηλὸν χθονίοιο, καὶ ἔμπεδον ὀλλυμένοιο.
Τοὔνεκα μοὶ καὶ πάντες ἐπέχραον. οὐδ' ἐθέλουσι
Χάζεσθαι σπεύδοντες ἑτοιμοτάτην ἐπὶ θήρην.
Αἰαῖ καισάρειος δὲ λυπρὴ κόνις, ὅς τις ἐμοῖο
Ὄχλον ἅπαν τ' ἀπέεργε διδοὺς ἅπαν ἄχθος ἀλύσκειν,
Τίων ὡς οὔπω τις ἀδελφεὸν ἄλλος ἔτισεν.
Αἰδόμενός θ' ὡς εἴ τις ἑὸν πατέρ' ἀμφαγαπάζων.
Αὐτὰρ ἐγὼν οὐ τόσσον ὀδύρομαι, οὐ βιότοιο
Σκιδναμένου τὸν ξεινὸν ἔχειν ἐπόθησα πενιχροῖο,
Οἷα τε καὐτὸς ἐὼν ἐπιδήμιος ἐνθάδ' ἀλήτης,
Ἐς χέρα δ' ὑψίστου ὁρόων τε δότειραν ἑάων,
Οὐ πᾶσι θνητοῖσιν ἀπεχθέος εἵνεκα λώβης,
Ἦ τε καὶ ἤπιον αἴθεα χόλου πίμπλησι τάχιστα,
Οὔτε κασιγνήτων, οὕς μοι τάφος ἀμφικαλύπτει
Ὠκυμόρους, πάντεσσιν ἐπιχθονίοισιν ἀγητούς,
Ὅσσον ἐμὴν ψυχὴν ὀλοφύρομαι, ὥς μιν ἄνασσαν
Καλήν τε μεγάλην τε, καὶ εὐγενέων βασιλήων
Εἰσορόων σιβαρῇσιν ἀλυκτοπέδαις μογέουσαν.
Ἣν δὲ δυσμενέοντες ἕλον, χαλεπῇ δ' ἐνέδησαν
Δουλοσύνῃ, καὶ συγνὰ κατὰ χθονὸς ὄμματ' ἔρεισαν.
Τοῖα παθόν. τοῖον δ' ἄρ' ἔχω κατακάρδιον ἕλκος.
Ἀρχαίη φάτις ἐστὶν, ὅτ' ἐγχρίμψησιν ὀδόντα
Πικρὸς ἔχις κακοεργὸν ἐπ' ἀνέρι, λοίγιον ἕλκος,
Μούνοις τόνδ' ἐθέλειν ἀγορευέμεν, οἷσιν ὁμοῖον
Λυγρὸς ἔχις πυρόεντι χόλῳ ἐνομόρξατο λοιγόν.
Τὸν γὰρ δὴ καὶ μοῦνον ἐπίστασθαι κακὸν ἄλγος.
Ὣς καὶ ἐγὼ κείνοισιν ἐμὸν πόνον ἐξαγορεύσω,
Οἷσιν ξεινὸς ἔρως. ξυνὸν κακόν. ἄλγος ὁμοῖον.
Μοῦνοι γάρ κεν ἐμοῖο φίλοις δέξαιατο μύθους,

Καὶ γοερῆς κραδίης μυστήρια γνοῖεν ἄεισα,
Οἳ σταυροῦ ποθέοντες ἐπωμαδὸν ἄχθος ἀείρειν,
Καὶ μεγάλου βασιλῆος ἐν ἴχνεσι μοῖραν ἔχοντες,
Εὐοδίην στέργουσι, καὶ οἰκτείρουσι πεσόντας.
Τοῖσ δ' ἄλλοις κενεοῖ μετέλθος ἐμὰ κήδεα βάζων,
Ὧν πίστις κραδίην ἄκρην ἐχάραξεν ἐλαφρή.
Οὐδὲ διὰ σπλάγχνων ἦλθ' ἵμερος ὀξὺς ἀνάγκης.
Ζώουσι δ' ἐνθάδε μοῦνον ἐφημέρια φρονέοντες.
Ἀλλ' οἱ μὲν φθινύθοιεν, ἐπεὶ πάντεσσιν ὁμοίως
Γλῶσσαν ἐφοπλίζουσιν ἐχθρότατον βέλος ἄλλοις
Ἐσθλοῖς, ἠδὲ κακοῖσιν. ἐγὼ γε μὲν οὔτι γόοιο
Λήξω, πρὶν στονόεσσαν ὑπεκφυγέειν κακότητα,
Καὶ μαλεροῖσι παθέεσσι νόου κληῖδ' ἐπιθεῖναι.
Τοῖς νῦν πάντα θύρετρα πικρὸς σατὰν ἐξεπέτασσε,
Πρόσθεν ἐεργομένοισιν, ὅτ' ἔσκεπε χείρ με θεοῖο.
Οὐδ' εἶχεν κακίη πρόφασιν πέλας, ἦρα τάχιστα
Ἅπτεται, ὡς καλάμης τε πυρὸς μένος ἐξ ὕος ἐσσῆς,
Ἄχρι καὶ ἐξ ἀνέμοιο πρὸς ἠέρα πυρσὸς ἀερθῇ.
Ὡς ὄφελον κρημνοῖσι καὶ οὔρεσι καὶ σκοπέλοισι
Κρύψαι τῶνδε πάροιθεν ἐμὸν δέμας. ἧκεν ἅπαντα
Τόνδε βίον, βιότου τε φυγών, σαρκός τε μερίμνας,
Χριστὸν ὅλον φορέεσκον ἐνὶ φρεσὶν οἶος ἀπ' ἄλλων
Ναιετάων, οἷά τε θεῷ νόον ἁγνὸν ἀείρων,
Μέσφ' ὅτε καὶ κούφησι σὺν ἐλπίσι τέκμαρ ἐπέσπω.
Ὤφελον. ἀλλὰ πόθος με φίλων κατέρυκε τοκήων,
Ἕλκων δία τάλαινον ἐπὶ χθόνα. οὔτι πόθος γε
Τόσσον, ὅσον μυελόν τε καὶ ἔγκατα πάντα δαΐζων.
Οἶκτος, ὅπις παθέων ἀγανώτατός ἐστιν ἁπάντων.
Οἶκτος μὲν πολιῆς θεοειδέος. οἶκτος ἀνίης.
Οἶκτος ἀπαιδίης. οἶκτος δέ τε καὶ περὶ παιδός.
Ὧρα περιζομένουσι γλυκὺν πόνον αἰὲν ἔχοντες,
Ὀφθαλμὸν βιότοιο, καὶ ἄλγεσιν ἀσχαλόωντα.
Ὦ βίβλοι τὸ πάροιθε μέλον. τὰς, πνεῦμ' ἐχάραξεν
Εὐαγγέλων γλώσσῃσι, καὶ ἔνδοθι γράμματος ἐσθλοῦ,
Πνεύματος ἀστράπτουσα χάρις, καὶ κρυπτὸν ὄνειαρ
Οἵοισιν καθαροῖσι φαεινόμενον μερόπεσσιν.

E t lugubris cordis mysteria nouerint optima,
Qui crucis cupientes in humeros onus tollere,
E t magni regis in septis partem habentes,
P rosperitatẽ amant, & miserantur qui ceciderint.
A liis autem essem risus meos mœrores dicens,
Quorum fides cor summum imptessit leuis,
N eq; per uiscera uenit desiderium acre regis,
V iuunt autem hic solum temporaria sentientes.
S ed hi quidem pereant, postq̃ in omnes eodem modo
L inguam armant paratissimum iaculum aliis
B onis, atq; malis, ego tamen minime a luctu
D esinam. priusq̃ luctuosam effugiam malitiam,
E t uoracibus affectibus mentis clauem imponam,
Quibus nunc omnes amarus Satan adaperuit
A ntea cohibitis cum integebat manus me dei,
N eq; habebat uitiũ occasionẽ ꝓpe, quod q̃dem celerrime
A ttingit, ueluti stipulam ignis robur prope existentem,
E atenus ut a uento in aerem fax eleuetur,
A tq; utinam præcipitiis & montibus & scopulis
O cculissem ante hæc meum corpus. quippe omnem
H anc uitam, uitæq; fugiens carnisq; curas
C hristum totum ferrem in mentibus solitarius ab aliis
H abitans, soliq; deo mentem puram attollens
V sq; dum & leuibus cum spebus finem traherem,
V tinam. sed desiderium me caroꝶ continuit parentum,
T rahens ueluti trutinam in humum, nec desiderium sane
T antum, quantum medullamq; & uiscera omnia scindens
M iseratio, quæ affectuum mitissima est omnium,
M iseratio quidem cani ciei deiformis. miseratio mœroris.
M iseratio orbitatis. miseratio uero est etiã de filio,
C ui magnopere timent iucundũ dolorẽ semꝑ habentes
O culum uitæ, & doloribus mœrentem.
C ui libri antea curæ erant, quos spiritus impressit
Sanctorum linguis, & intra literam bonam,
S piritus fulgurans gratia, & cælata utilitas
S olis puris apparens hominibus.

9

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ
ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΙΩΑΝΝΗΝ·

Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ, ἐγένετο οὐδὲν, ὃ γέγονεν. ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι᾽ αὐτοῦ, οὐκ ἦν ἐκεῖνος τὸ φῶς ἀλλ᾽ ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ᾽ ἐκ θεοῦ ἐγεννήθησαν. καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος, καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων, οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέ μου γέγονεν, ὅτι πρῶτός μου ἦν. καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ, ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη. ἡ χάρις καὶ ἡ ἀλήθεια, διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

Τῇ δευτέρᾳ μετὰ τὸ πάσχα.

Θεὸν οὐδεὶς ἑώρακε πώποτε. ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο. καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς, καὶ λευίτας πρὸς αὐτὸν, ἵνα ἐρωτήσωσιν αὐτὸν, σὺ τίς εἶ; καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο. καὶ ὡμολόγησεν, ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ χριστός. καὶ ἠρώτησαν αὐτόν. τί οὖν, Ἠλίας εἶ σύ; καὶ λέγει οὐκ εἰμί. ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη οὔ. εἶπον οὖν αὐτῷ, τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς. τί λέγεις περὶ σεαυτοῦ. ἔφη; ἐγὼ φωνὴ βοῶντος

ἐν τῇ

ζήτει τὸ λοιπὸν ἐν τῷ μέσῳ τοῦ ἐφεξῆς τετραδίου.

IN SANCTA ET MAGNA DOMINICA PASCHAE EVANGELIVM SECVNDVM IOANNEM.

In pricipio erat uerbũ,& uerbũ erat apđ deũ,& de⁹ erat uerbũ. Hoc erat i pricipio apud deũ. Omnia ꝑ ipsum facta sunt,& sine i pso factũ est nihil,quod factũ est. In ipso uita erat,& uita erat lux hominum, & lux in tenebris lucet, & tenebræ eam non comprehenderunt. Fuit homo missus adeo, nomẽ ei Ioães. Hic uenit i testimoniũ,ut testimoniũ phiberet de lumine,ut omnes crederent per illum. Non erat ille lux, sed ut testimonium phiberet de lumine. Erat lux uera que illuminat oẽm hominẽ uenientẽ in hũc mundum. In mundo erat, & mundus ꝑ ipm factus est,& mundus eum non cognouit. In propria uenit,& sui eũ nõ receperũt. Quotquot aũt receperũt eum,dedit eis potestatem filios dei fieri, iis, qui credunt in nomine eius. Qui nõ ex sanguinibus,neq; ex uolũtate carnis, neq; ex uoluntate uiri, sed ex deo nati sunt. Et Verbum caro factum est, & habitauit in nobis. Et uidimus gloriam eius gloriam quasi unigeniti a patre, plenum gratiæ & ueritatis. Ioães testimoniũ phibet đ ipso,& clamat dicens,hic erat, quem dixi,q post me uenturus ẽ, ante me factus est, quia prior me erat. Et de plenitudine eius nos omnes accepimus, & gratiam pro gratia. quia lex per Moysen data est. gratia,& ueritas per IESVM Christum facta est.

SECVNDA.S.DIE.POST PASCHA.

Deum nemo uidit unq̃. Vnigenitus filius.qui est in sinu patris, ipse enarrauit. Et hoc est testimonium Ioannis, quãdo miserũt iudæi ab Hierosolymis sacerdotes,& leuitas ad eũ,ut interrogarẽt eum. Tu quis es? Et confessus est,& non negauit. Et cõfessus ẽ,q̃a nõ sum ego Christus. Et iterrogauerunt eum,quid ergo,Helias es tu? Et dixit, Non sum. Propheta es tu? Et respõdit,nõ. Dixerũt ergo ei,Quis es?ut respõsum demus iis, q miserunt nos. Quid dicis de teipso? Ait, Ego uox clamantis in

Quære reliquum in medio sequentis quaternionis.

10

P recesq; luctusq; amici & noctes insomnes.
A ngeliciq; chori, psalmis deum qui cōmouent
S tantes, animas deo mittentes in cantibus,
M ultis ex oribus cōmunem uocem eloquentes.
V entrisq;, mali authoris labor, & mensuræ risus,
Quies linguæq; & oculi, atq; iræ
F urentis habenæ. ratio autem continebat erronem
I n omnem partē obseruantē, mentem aūt cōuertit ad christū
S pebus cœlestibus, ratio autem in omnibus aderat
I maginē agens ad regem. deus aūt delectatur motu
P ro facultatibus uero mihi & molestis tumultibus,
Qui me & nocturnis malis irritant insomniis,
C uris enim diuinis similia sunt uisa noctis,
E rat in oculis dei lumen, piarumq;
A nimarum persplendens chori institutioq; & gloria,
N unc uero sane recessere thesauri omnes a me
A nimæ, quæ antea conuersabatur cum omnibus optimis.
S olum a ūt intus mansit desiderium, & dolor inspiratus.
Quapropter lugeo, in crastinum aūt non apte scio,
S i me deus regredientem in mores pristinos reducet
S oluens a curis, oneraq; omnia excutiens,
V el ante mediis in doloribus inde aget
P riusq̄ serenitatē uideā, priusq̄ uulneribus medicamēta īponā
I nfelix, cupiens lucem postremam post noctem.
T unc lugentibus frustra quis auxilium ferat,
Hic medicina est hominibus postrema uero deuincta omnia.
Iam mihi canumq; caput, & membra rugata
D eclinarunt uitæ in uesperam miseræ.
S ed nondum talem tantumq; dolorem sustinui.
N eq; quādo insanis obluctantem uentis
T erra ex pharia in A chaiam pontum secui
O rtu tauri, quem horruere maxime
N autæ hiberni, pauciq; etiā rudendes soluerunt,
H ic ego noctesq; & dies uiginti totos
N auis in puppe iacebam deum celsi regem
V ocans precibus. spumabat autē unda in nauim

Εὐχαί τε στοναχαί τε φίλαι καὶ νύκτες ἄυπνοι.
Ἀγγελικοί τε χοροὶ, ψαλμοῖς θεὸν οἵγ᾽ ἐρέθουσιν
Ἱστάμενοι, ψυχάς τε θεῷ πέμποντες ἐν ὕμνοις,
Πολλῶν ἐκ στομάτων ξυνὴν ὄπα γηρύοντες.
Γαστρός τ᾽ ἀρχεκάκοιο μόγος, καὶ μέζα γέλωτος,
Ἀζεμίη γλώσσης τε καὶ ὄμματος, ἠδὲ χόλοιο
Μαινομένοιο χαλινά. λόγος δ᾽ ἔσφιγξεν ἀλήτην
Πάντοσε παπταίνοντα, νόον γ᾽ ἐπὶ δ᾽ ἔστρεφε Χριστῷ
Ἐλπίσιν οὐρανίῃσι. λόγος δ᾽ ἐπὶ πᾶσιν ἐκείνου
Εἰκὼν ἄγχιν πρὸς ἄνακτα. θεὸς δ᾽ ἐπιτρέπετ᾽ ἐρωῇ.
Ἀντὶ δέ μοι κτεάνων καὶ ἀργαλέων ὀρυμαγδῶν,
Οἷμος ἐπ᾽ ἐννυχίοισι κακοῖς βρέθουσιν ὀνείροις,
Φροντίσιν ἡματίοις γὰρ ὁμοίϊα φάσματα νυκτός,
Ἧεν ἐν ὀφθαλμοῖσι θεοῦ σέλας, εὐσεβέωντε
Ψυχῶν παμφανόωσα χοροστασίη τε κλέος τε.
Νῦν δὲ δὴ ἐξαπόλωλε κειμήλια πάντ᾽ ἀπ᾽ ἐμοῖο
Ψυχῆς, ἣ τὸ πάροιθεν ὁμίλεε πᾶσιν ἀρίστοις.
Οἶος δ᾽ ἐντὸς ἔμεινε πόθος, καὶ ἄλγος ἄελπτον.
Τοὔνεκεν αἰάζω. τὸ δ᾽ ἐσαύριον οὐ σάφα οἶδα,
Εἴ με θεὸς παλίνορσον ἐς ἤθεα τὰ πρὶν ἀνάξει
Λύσας ἐξ ἀχέων, ἀπὸ δ᾽ ἄχθεα πάντα τινάξας.
Ἢ ἐπάρος με σάχοισιν ἐν ἄλγεσιν ἔνθεν ἐλάσσει,
Πεινῇ αἰθερίην ἰδέειν, πρὶν χ᾽ ἕλκεσι φάρμακα θεῖναι
Δύσμορον, ἱμείροντα φάους πυμάτην μετὰ νύκτα.
Τῆμος ὀδυρομένοισιν ἐπώσια τίς κεν ἀμύναι.
Ἔνθα δ᾽ ἄκος μερόπεσσι. τὰ δ᾽ ὕστατα δέσμια πάντα.
Ἤδη μοι πολιόν τε κάρη, καὶ ἄψεα εἰκνά
Ἔκλινθη βίοτοιο πρὸς ἕσπερον ἀλγινόεντος.
Ἀλλ᾽ οὔπω τοιόνδε τοσόνδε τε ἄλγος ἀνέτλην.
Οὐδ᾽ ὅτε μαινομένοισι κορυσσόμενον γ᾽ ἀνέμοισι
Γαίης ἐκ Φαρίης ἐπ᾽ Ἀχαιΐδα, πόντον ἔτεμνον
Ἀντολίῃ ταύροιο. τὸν ἐρρίγασι μάλιστα
Ναῦται, χειμερίου. ταῦροι δέ τε πείσματ᾽ ἔλυσαν.
Ἔνθα δ᾽ ἐγὼ νύκτας τε καὶ ἤματα εἴκοσι πάντα
Νηὸς ἐπὶ πρυμνῇ κείμην θεὸν ὑψιμέδοντα
Κικλήσκων λιτῇσι. τὸ δ᾽ ἄφεε κῦμ᾽ ἐπὶ νῆα

Οὔρεσιν ἢ σκοπέλοισιν ὁμοίϊον ἔνθα καὶ ἔνθα.
Πολλὸν δ' ἐντὸς ἔπιπτε. τινάσσετο δ' ἄρμενα πάντα,
Ὀξέα συρίζοντος ὑπὸ προτόνοισιν ἀήτου.
Αἰθὴρ δ' ἐν νεφέεσσι μελαίνετο, καὶ στεροπῇσι
Λάμπετο, καὶ κρατεραῖς περιάγνυτο πάντοσε φωναῖς.
Τῆμος ἐμαυτὸν ἔδωκα θεῷ, καὶ πόντον ἄλυξα
Ἄγριον εὐαγέεσσιν ὑποσχεσίῃσι πεσόντα.
Οὐδ' ὅτε παλλομένης γε θεμείλια σεῖστο πάντα
Ἑλλάδος εὐρυχόροιο, κακοῦ δ' οὐ φαίνετ' ἀρωγή.
Αὐτὰρ ἐγὼν ζομέεσκον, ἐπεὶ ψυχὴν ἀτέλεστον
Εἶχον ἔτ' οὐρανίοιο χαρίσματος, εὖτε λοετρῷ
Ἕλκεται ἀνθρώποισι χάρις καὶ πνεύματος αἴγλη.
Οὐδ' ὅτε νοῦσος ἔπλησεν ἐμὸν στόμα πνεύματι λάβρῳ,
Καὶ πνοιῆς στείνωσε πόρους, ζωῆς τε κελεύθους.
Οὐδ' ὁπότ' ἀφαίνοντι νόῳ λυγρὸν ἀμφὶς ἑλίξας,
Οὔτι ἑκὼν βλεφάρου πλημηγία κανθὸν ἄμυξα,
Αἱμάσσοντα δ' ἔθηκα. φάος δ' ἐμὸν οἷα φονῆος
Ὤλετο. ἀμπλακίην δὲ πικρὴν μέγα πένθος ἔτειμεν.
Οὐδὲ θεῷ παλάμῃσιν ἐμῆς ἀνέπεμψα θυηλὴν
Πνεύματος, οὔτι πάρος γε, πρὶν ἔκλυσα δάκρυσι πῆμα.
Ψαύειν μὴ καθαρῷ γὰρ ἁγνοῦ κακόν, ὡς πυρόεντος
Ἀδρανὲς ὄμμα φορέειν κατεναντίον ἠελίοιο.
Ἀλλά τι πολλ' ἐμόγησα, τίς ἂν τάδε μυθήσαιτο,
Οἷς με θεὸς πείρωντε καὶ εὐμενέων ἐκάλεσσεν.
Ἀλλ' οὔπω τοιοῖσδε κακοῖς πάρος ἀντεβόλησα,
Οἵοισι πυμάτοισιν ἐμὴ ἐνέκυρσε τάλαινα
Ψυχή. καὶ ποθέω ποτ' ἐλεύθερον ἦμαρ ἰδέσθαι,
Πάντ' ἀποδυσαμένη, γυμνὴ φλόγας ὥς κε φύγῃσι,
Καὶ κόσμου κρατεροῖο λαβάς, καὶ χάσμα πέλωρον
Ἀμφιχανεῖν μεμαῶτος ἑαῖς γενύεσσι δράκοντος,
Ὅν κε λάβῃ. βελίη γὰρ ἐμὸς νόος οὐκ ἐστὶν ἐδητύς.
Τίς δώσει κεφαλῇ πηγῆς ῥόον ἢ βλεφάροισιν,
Ὡς δακρύων ὀχετοῖσι μολύσματα πάντα καθήρω,
Κλαύσας ὡς ἐπέοικεν ἁμαρτάδας. ἢ γὰρ ἄριστον
Δάκρυον ἐστὶ βροτοῖσιν, ἄκος ψυχαῖς τε μελαίναις.
Καὶ κόνις αἰθαλόεσσα, καὶ ἐν χθονὶ σάκκος ὀβριμνός.

Montibus aūt scopulis similis hinc & inde,
Multa autem intro cadebat, quatiebantur uero uela omnia
Acute sibilante in rudentibus flatu.
Aether aūt in nebulis denigrabatur, & fulgetris
Illustrabatur, & grauibus obtundebatur undiq; uocibus.
Tunc me ipsum dedi deo, & pontum effugi
Ferum sanctis pollicitationibus cadentem.
Neq; cum uibrata qdem fundamenta quatiebantur omnia
Græciæ latæ, mali autem non appparebat auxilium.
Verum ego intremiscebam, quoniam animam imperfectam
Habebam adhuc cœlestis gratiæ. quando lauacro
Trahitur hominibus gratia, & spiritus splendor ,
Neq; cum morbus repleuit meum os spiritu copioso,
Et spirationis angustos reddidit meatus, & uitæ uias,
Neq; cum delirante mente uimen circumuoluens,
Minime uoluntarius palpebræ circūductilē angulū laniaui,
Cruētumque reddidi, lux autem mea ut occisoris
Periit. erratū aūt amarum magnus luctus offendit.
Neque deo manibus meis emisi sacrificium
Spiritus, minime equidem, priusq̄ obrui lachrymis damnum,
Nā tangere impuro purum, malum. ueluti igneum
Imbecillem oculum ferre contra solem,
Multa quoque alia laboraui. quis hæc dixerit,
Quibus me deus uexansque & benigne affectus uocauit
Sed non dum talibus malis antea incurri,
Qualibus ultimis mea incidit misera
Anima & cupit olim liberum diem uidere
Omnia exuens, nuda flāmas ut effugiat,
Et mundi potentis ansas, & hiatum monstrosum
Deuorare meditantis suis maxillis draconis
Quem ceperit. iaculationi enim mea mens est cibus.
Quis dabit capiti fontis fluuium? aut palpebris?
Vt lachrymarum riuis maculas omnes mundem,
Deplorans ut decet peccata, quippe enim optima
Lachryma est mortalibus medicina, animabusq; nigris,
Et puluis ardens, & in terra saccus ater,

12

Vt me aliquis inspiciens intremiscat, & melior sit
Fugiens ægypti nigrum solum, operaque amara,
Et pharaonem regē, patriam aūt ad diuinam gradiatur.
Neque maneat babylonis in asperis campis
Captiuus, ripis assidens fluuii,
Cantus instrumenta omnia deuitans inconcusse
Lachrymabundus, festinet per sacram ad fines terram
Seruile ex assyria fugiens iugum. q̄ prius uexabat,
Et templi magni fundamenta manibus iaciat,
Hanc ego infelicissimus postq̄ reliqui, nunq̄ desii
Desiderare, molestum aūt affectum senectus infundebat.
Et procumbo in terrā in mentibus luctum laturus
Veritus mortalesque & immortalem regem
Vestimentisque cordeque mœrens, & mutus
Trahens misericordiam regis dolore, qui humilibus
Bene affectus omnibus superbos uilipendet.
Quēadmodum aūt e sacra solymo℞ descendentē urbe
Hierichi oppidum ad inclytum, ut aiunt
Fures offenderunt mali insidiantes uiatori,
Hi quidem hunc, uerberibus indecentibus concidentes
Vestimentaq; exuentes quæ ipsum tegebant, immiti animo
Liquere expirantem, continuo autem occurrere uiatores,
Leuita sacerdosq; liquereque ipsum immiti animo,
Atqui Samaritano℞ q̄dā aduenit, q ipsum est miseratus
Et ipsum ducens deuinxit, & uulneribus medicamēta reliq̄t
Et mercedem alenti, ostentum magnū, quo pacto samaritanus
Hunc intuens miseratus ē, quē non sunt miserati optimi.
Non enim ego apte scio quid cælatur imagine hac,
Qualia deus sapientia mysteria occulit.
Et in his quidē propitius sit. talibus aūt ego incurri
Damnis, & me concidit simul animabus inuadens
Prædo uitæ præstanti descendentem ex urbe,
Et christi me exuit gratia, & nudum reddidit,
Quēadmodum Adam prius pulueris & casus principium.
Quem gustus detrusit in terram, cuius genus erat,
Sed mei o rex miserere, & ex morte seruato,

Ὥστις ἔμ' εἰσορόων ζομένη, καὶ φόρτορος εἴη
Φεύγων Αἰγύπτοιο μέλαν πέδον, ἔργα τε πικρὰ,
Καὶ Φαραὼ βασιλῆα, πάτρην δ' αὖθι θεῖαν ὁδεύῃ,
Μηδὲ μένῃ Βαβυλῶνος ἐνὶ κραναοῖς πεδίοισι
Δειλαλής, ὄχθῃσι παρεζόμενος ποταμοῖο,
Ὠδῆς ὄργανα πάντα παρακλίνας ἀτίνακτα
Δακρυόεσσ', σπεύδῃ δ' ἑξῆς αὖθι τέρματα γαίης
Δούλιον ἀσσυρίηθε φυγὼν ζυγὸν, ὅς πρὶν ἔτειρε,
Καὶ νηοῦ μεγάλοιο θεμείλια χερσὶ βάληται.
Τὼ μὲν ἐγὼ παναπότμος ἐπεὶ λίπον, ὄφρ' ἔληξα
Ἱμείρων. χαλεπὸν δὲ πάθος κατὰ γῆρας ἔχευε.
Καὶ κύπτω ποτὶ γαῖαν ἐνὶ φρεσὶ πένθος ἀέξων,
Ἀζόμενος θνητούς τε καὶ ἀθανάτους βασιλῆας
Ἥμασί τε κραδίῃ τε κατηφιόων, καὶ ἄναυδος
Ἕλκων οἶκτον ἄνακτος ὀϊζύϊ, ὃς χθαμαλοῖσιν
Εὐμενέων πάντεσσιν ὑπερφιάλοις ἀθερίζει.
Οἷον δ' ἐξ ἱερῆς σολύμων κατιόντα πόληος
Ἱερειχοῦς πτολίεθρον ἐς κλυτὸν, ὥς ἐνέπουσι,
Φῶρες ἐδηλήσαντο κακοὶ λοχόωντες ὁδίτην,
Οἱ μὲν τὸν, πληγῇσιν ἀεικελίῃσι τεμόντες,
Εἵματά τ' ἐκδύσαντες ἄμυν σκέπε, νηλέϊ θυμῷ
Λεῖψαν ἀποψύχοντα, θοῶς δ' ἐνέκυρσεν ὁδῖται,
Λευΐτης ἱερεύς τε, λίπον τέ ἑ νηλέϊ θυμῷ.
Καί που σαμαρέων τις ἐπήλυθεν, ὅς σφ' ἐλέηρε.
Καί μιν ἄγων κατέδησε, καὶ ἕλκεσι φάρμακ' ἔλειπε,
Καὶ μισθὸν κομέοντι. τέρας μέγα. πῶς σαμαρείτης
Τὸν δ' ἐσιδὼν ἐλέηρεν, ὃν οὐκ ἐλέηραν ἄριστοι.
Οὐ γὰρ ἐγὼ σάφα οἶδα τί κεύθεται εἰκόνι τῇδε.
Οἷα θεὸς σοφίῃ μυστήρια ἀμφικαλύπτει.
Καὶ τὰ μὲν ἱλήκοι. τοίοις δ' ἐγὼ ἀντεβόλησα
Πήμασι. καί μ' ἐδάϊξεν ὅμαδος ψυχῆσι μεγαίρων
Λῃστῆς βιότου κεδνῆς καταβάντα πόληος,
Καὶ Χριστοῦ μ' ἀπέδυσε χάριν, καὶ γυμνὸν ἔθηκεν,
Ὥσπερ Ἀδὰμ τὸ πρόσθε χοὸς καὶ πτώσιος ἀρχήν.
Ὃν γεῦσις κατέθηκεν αὖθι χθόνα. τῆς γενὸς ἴσεν.
Ἀλλά μ' ἄναξ ἐλέαιρε, καὶ ἐκ θανάτοιο σάωσον,

Ὃν λεῖψαν ἱερῆες, ἐπεὶ μογέοντ' ἐνόησαν.
Ἕλκεά τ' ἐγκατέδησεν, ἄγεν τ' ἐς πανδοκεῖον οἶκον.
Αὖθις δ' εἰς ἱερὴν περιώσιον πόλιν ἀρτεμέοντα.
Ἔμπεδον ἔνθα μένοιμι. κακοὺς δ' ἀπὸ φῶρας ἐρύκοις,
Καὶ τρίβον ἀργαλέην, καὶ θαύματα, καὶ προδότας
Κηλέα θυμὸν ἔχοντας, ἐπ' εὐσεβίῃ κομόωντας.
Πυνθανόμην ὡς δύο φῶτε, μέγα πνείων φαρισαῖος,
Ὅς γε θεῷ πάντων προφερέστατος, ἠδὲ τελώνης
Κέρδεσιν οὐχ ὁσίοισι τετυμμένος ἔνδοθεν ἦτορ,
Ἱερὸν εἰσαναβάντες, ὁ μὲν τὰ ἕκαστ' ἀγόρευε,
Νηστείας δεκάτας τε νόμου. τρεμέζεε δ' αὐτὸν
Ἀνδράσι γε προτέροισι. λόγοις δ' ἀθέριζε τελώνην.
Αὐτὰρ ὁ δακρυχέων καὶ στήθεα χερσὶ πατάσσων,
Οὐδ' αὐτὴν μεγάλοιο θεοῦ θρόνον οὐρανὸν εὐρὺν
Εἰσορόων, λιτάων δὲ κατ' οὔδεος ὄμμασι δούλοις,
Τηλόθεν ἑστηὼς δ' ἐλιτάζετο. ἵλαος εἴης.
Ἵλαθι σῷ θεράποντι βοῶν βεβριθότι κακοῖσιν.
Οὐ νόμος, οὐ δεκάται μ', οὐκ ἔργματα καλὰ σαώσει.
Οὐδ' ὅγ' ἐπεσβολέων ψεύστης. καὶ νηὸν ἔγωγε
Αἰδέομ' οὔτι πάροιθεν ἐπιψαύων ὁσίοισι.
Σὴ δὲ χάρις, σὸς δ' οἶκος ἐμοὶ στάξειε βεβήλῳ.
Ἣν μούνην δ' ἀλλοῖσιν ἄναξ πόρες ἐλπίδ' ἀλιτροῖς.
Ὣς φάτο. ἀμφοτέρων δὲ θεὸς κλύε. καί ῥ' ἐλέησεν
Ὃν μογέοντ' ἐνόησεν. ὑπερμενέοντα δ' ἄτισεν.
Ὡς ἴδες, ὡς ἐδίκασσας, ἐμοὶ θεὲ θάρσος ὀπάζων.
Οὗτος ἐγώ σοι κεῖνος ὁ πάγκακός εἰμι τελώνης.
Ὡς δὲ βαρυστενάχω, σὴν δ' ἐπέλπομ' ἀρωγήν.
Λίσσομαι, εἴ ποτε δῆσε πατὴρ καὶ πότνια μήτηρ
Δάκρυσι καὶ στοναχῇσι καὶ εὐχωλῇσιν ἔτισαν,
Ἤπια τοι κτεάνων τριτάτην ἀπὸ μοῖραν ἔνειμαν,
Ἠδὲ θυσίαις καθαρῇσι καὶ εὐαγέεσσι γέραιραν,
Οὐ γὰρ ἐγώ ποτε σεῖο ἐπάξιον οὐδὲν ἔρεξα,
Τῶν μνῆσαι. ἢ ἄλαλκε. κακὰς δ' ἀπόπεμπε μερίμνας.
Μηδέ με συμπνίξειαν ἑοῖς περὶ ὄρθοισιν ἄκανθαι,
Μηδ' ἄρ' ἐπειγόμενον θείην ὁδὸν ἀντερύκοιεν,
Ἄλκαρ ἐμὸν περιώσιον δέμ' ἀπήμονα. σὸς γὰρ ἔγωγε

Quem reliquere sacerdotes, postq̃ laborantem intellexerunt.
Vulneraque bene obliga ducens ad hospitalem domum,
Rursus uero in sacram mittas ciuitatem sanatum,
Firme ubi maneam, malos autem fures prohibeas,
Et uiam difficilem. & uulnera, & uiatores
Immitem animũ habentes, in impietate superbientes.
Audio q̃ duo homines, magnopere inflatus phariseus,
Qui quidẽ deo omniũ erat præstantissimus, atque publicanus
Lucris nefariis contritus intus cor
Templum ingressi, ille quidem omnia edicebat
Ieiunia decimasque legis, comparabat autem se
Viris sane prioribus, uerbis aũt despiciebat publicanum,
Verum hic lachrymans & pectora manibus pulsans,
Neque ex aduerso magni dei sedem cœlum latum
Intuens, aspiciens autẽ in terram oculis seruilibus,
Longe autem stans supplicabat. propitius sis
Propitiare tuo seruo clamans grauato malis,
Non lex, non decimæ me, non opera bona seruabunt,
Neque hic futilis mendax, & templum ego sane
Vereor, minime pedibus attingens iustis,
Tua autem gratia, tuaque misericordia mihi stillet ꝓfano,
Quam solam miseris rex præbuisti spem peccatoribus,
Sic dixerunt. ambos autem deus audiit, atque miseratus est
Quem laborantem nouit, superbientẽ autem spreuit,
Vt uidisti, sic iudicasti, mihi o deus fiduciam præbens,
Ipse ego tibi ille pessimus sum publicanus,
Quam autem grauiter lugeo, tale autem spero auxilium,
Supplico, si unq̃ sane te pater & ueneranda mater
Lachrymis & luctibus & precationibus coluerunt,
Aut si quam tibi ex facultatibus partem parum tribuerunt
Aut sacrificiis puris & sanctis honorarunt,
Non enim ego unq̃ dignum aliquid egi,
Quaꝝ reꝝ memineris, & opitulare, malas aũt discute curas,
Neque me suffocent suis ramis spinæ,
Neque etiam festinantẽ in diuinã uiam retro ꝓhibeant,
Adiutoriũ meũ, mittas uero me illæsum, tuus enĩ ego

Cultor·tua aūt sors. tu uero mihi es deus solus a primordio.
Tibi uero me a uisceribus mater obtulit ferens
Die illo, cum puerum suis in genibus ponere
Filium cupiens, sacræ Annæ imitata est uocem.
Puerum ego quidem uideam, tu uero septū intra contineas
Christe rex partus mei germinantem fructum.
Dixit, deus aūt annuisti, secutū est aūt diuinū somnium
Nomen matri ferens. postea uero puerum dedisti.
Hæc me tuis templis nouum obtulit Samuel.
Si quando eram, nunc uero rursus adnumeratus sum ꝑfanis
Eli tui serui gloriosi filiis uoracibus
Qui in sacrificia pura irruerunt stulto animo,
Manibus attingentes diuinos gulosis lebetes.
Quapropter & molestum nacti sunt uitæ finem,
Sed illa sane spebus melioribus partem tribuit
Tibi filiorum, libris autem meas manus lustrauit sacris·
Et me complectens, tali allocuta est uerbo.
Iam quidam carum filium diuinitus datum duxit ad arā
Festinantem ad sacrificium sacrum bonum optimus,
Sarræ tardiperæ sobolem, radicemq; generis,
Quam spes imprimebat, promissioque dei.
Abraam erat sacerdos, agnus autem gloriosus Isaac.
Verum ego uiuū te deo donū, quemadmodum promisi,
Largior, tu uero mihi matris perficias desiderium,
Qua peperi supplicata te, & precor esse optimum·
Has ego tibi diuitias mi fili bonus præbeo
Hic & postea, ultima autem longe præstantiora·
Matris quidem desiderium hoc. ego uero cessi desideriis
Puer adhuc existens. tenera aūt nouam suscepit formam
Pietatis anima, sigillum autem seruabatur christi
Nutibus, qui certe palam conuersabatur cum suo seruo.
Temperantia aūt me uinxit amica, & carnē obstrinxit,
Et calidum sapientiæ diuinæ inspirauit amorem·
Et solitariæ uitæ, uitæ futuræ primitias
Costa non indigentis suum corpus amante,
Verbisq; blandis amaram ad gustationem inducente·

Λ άτρις. σὸν δὲ λάχος. σὺ δέ μοι θεὸς οἶος ἀνώθεν.
Σ οὶ δέ μ' ἀπὸ σπλάγχνων μήτηρ ἀνέθηκε φέρουσα
Ἤ ματι πρώτῳ, ὅτε κοῦρον ἑοῖς ἐπὶ γούνασι θεῖναι.
Π αῖδα ποθεῦσ', ἱερῆς Ἄννης ἐμιμήσατο φωνήν.
Κ οῦρον ἐγὼ μὲν ἴδοιμι. σὺ δ' ὄρκιος ἐντὸς ἐόργοιο
Χ εῖσε ἄναξ ὠδῖνος ἐμῆς ἐριθηλέα καρπόν.
Ἔ ιπε. θεὸς δ' ἐπένευσας. ὁ δ' ἕσπετο θεῖος ὄνειρος
Ὄ νομα μητρὶ φέρων. μετέπειτα δὲ κοῦρον ἔδωκας.
Ἡ δέ με σοῖς ἱεροῖσι νέον ἀνέθηκε Σαμουήλ.
Ἔ ιπω τέλος. νῦν δ' αὖτ' ἐναρίθμιός εἰμι βεβήλοις
Ἠ λεὶ τοῦ θεράποντος ἀγακλέος υἱέσι μάργοιο.
Ὃ ι θυσίαις καθαρῇσιν ἐπέχραον ἄφρονι θυμῷ,
Χ ερσὶν ἐφαπτόμενοι θείων λίχνῃσι λεβήτων.
Τ οὔνεκα καὶ χαλεποῖο κύρησαν βιότοιο τελευτῆς.
Ἀ λλ' ἦγ' ἐλπωρῇσιν ἀμείνοσι μοῖραν ἔνειμε
Σ οὶ τεκέων. βίβλοισι δ' ἐμὰς χέρας ἥγνισε θείαις.
Κ αί μ' ἀγαπαζομένη, τοίῳ προσεφώνεε μύθῳ.
Ἤ δὲ τις φίλον ἦα θεόσδοτον ἤγαγε βωμῷ,
Σ πεύδοντες θυσίην ἱερήϊον ἐσθλὸν ἄριστος.
Σ άρρας ὀψιτόκοιο γόνον, εἵζαντε γενέθλης.
Ἣ ν ἐλπὶς ἐχάραξεν ὑποσχεσίῃ τε θεοῖο.
Ἀ βραὰμ τῷ ἱερεύς. ἀμνὸς δέ τε κύδιμος Ἰσαάκ.
Ἀ ντὰρ ἐγὼ ζώοντι θεῷ γέρας, ὥσπερ ὑπέστην,
Δ ῶρον ἐμοῦ. σὺ δέ μοι μητρὸς τελέσειας ἐέλδωρ.
Ἣ τέκον εὐξαμένη, καὶ εὔχομαι εἶναι ἄριστον.
Τ οῦτον ἐγώ σοι πρῶτον ἐμὸν τέκος ἐσθλὸν ὀπάζω
Ἔ νθαδε καὶ μετέπειτα. τὰ δ' ὕστατα πολλὸν ἀρείω.
Μ ητρὸς μὲν πόθος οὗτος. ἐγὼ δ' ὑπέδεξα πόθοισι
Π αῖς ἔτ' ἐών. ἁπαλὴ δὲ νέην ὑπεδέξατο μορφήν
Ἐ υσεβίης ψυχή. σφραγὶς δ' ἐφυλάξατο χριστοῦ
Ν εύμασιν. ὅσ ῥ' ἀναφανδὸν ὁμίλεεν ᾧ θεράποντι.
Σ ωφροσύνη δέ μ' ἔδησε φίλη, καὶ σάρκα πέδησε.
Κ αὶ θερμὸν σοφίης θείης ἐπέπνευσεν ἔρωτα.
Κ αὶ μοναχοῦ βιότοιο βίου μέλλοντος ἀπαρχήν
Π λευρᾶς οὐ χατέοντος ἑὸν δέμας ἀμφαγαπῶσας.
Ῥ ήμασί θ' αἱμυλίοισι πικρὴν ἐπὶ γεῦσιν ἄγουσι.

15

Ἀλλὰ θεῷ τέμνοντες ἁγνὸν πόθον, οὐδὲ γυναικί.
Καὶ χριστῷ τέμνοντες, ὅλον θεοῦ ἐκγεγαῶτα.
Ὅρμε διὰ στεινῆς τε καὶ ἀργαλέης περὶ λεπτὴν
Τείνων ἀτραπιτοῖο πύλην σὺν ἀρείονι πομπῇ,
Οὔτι βατὴν πολλοῖσι, θεῷ θεὸν ὕψ' ἀπὸ γαίης
Τυκτὸν οὐ γεγαῶτα, καὶ ἄφθιτον ἐκ θανάτοιο
Εἰκόνι σὺν μεγάλοιο θεοῦ, καὶ σῶμ' ἐπίπρωτον
Ἕλκων, οἷα μάγνησσα λίθος αἴθωνα σίδηρον.
Ὤ μοι ἐγών. ὢ λυγρὰ καὶ αἴπυτα ἔργα παθοῦσα
Ψυχή. ὢ θνητοὶ κενεαυχέες, ὡς ἐτεόν γε
Λεπταλέαις αὔρῃσιν ἐοικότες οἳ γινόμεσθα.
Ἠὲ καὶ ὀνειρείοιο παλιμπλάγκτοισιν ἐρωαῖς
Στρωφώμεθ' ὧδε γαῖαν ἐπώσια φυσιόωντες.
Κοὐδὲν ἀνθρώποισιν ὁμοίϊον ἐς τέλος ἐστὶν,
Οὐ κακὸν, οὐδὲ μὲν ἐσθλόν. ὁδοὶ δ' ἄγχιστα ἔασιν.
Οὐδ' ὁ κακὸς τό γε οἶδεν ἐς ὕστερον, ὁππόθι λήξει.
Οὔτ' ἐσθλοῖς ἀρετὴ μένει ἔμπεδον, ἀλλὰ κολούει,
Ὡς τάρβος κακίην. ἀρετὴν φθόνος. ἀμφοτέροις δὲ
Κάμπτεσθ' ἡμερίων χριστός γ' ἐκέλευσε γενέθλην.
Ὤσκεν ἀνώνυμοι μὲν ἐὸν σθένος εἰσορόωντες.
Κεῖνος δ' ἐστὶν ἄριστος, ὃς ἰθείην ὁδὸν ἕλκει.
Οὐδὲ μεταστρέφεται ἐς δεύτερον περὶ τέφραν ἐρήμην.
Ἣν δι' ἀφροσύνην ξείνῳ πυρὶ δῃωθέντων.
Φεύγει δ' ἐσσυμένως ἐς ὄρος. πάτρης δὲ λέλησται.
Μὴ μῦθος καὶ λᾶας ἁλὸς μετόπισθε λίπηται.
Μάρτυς ἐγὼ παθέεσσιν ἐμοῖς βροτέης κακότητος.
Παῖς μὲν ἐὼν, ὅτε τυτθὸν ἐνὶ στήθεσσι νόημα,
Οἴῳ δὴ σκιόεντι λόγῳ, καὶ ἤθεσι κεδνοῖς
Ἑσπόμενος προσέβαινον ἄνω λάμποντι θοώκῳ,
Ἴχνεσιν ἀπλανέεσσιν ἰὼν βασιλήϊον οἶμον.
Νῦν δ' ὅτε μῦθον ἄγειρα, βίου δ' ὧδε τέρμαθ' ἱκάνω,
Οἷα μεθυπλανέεσσι τάλας ποσὶ δόχμια βαίνω.
Καί με ταλαντεύει σκολιοῦ μόθος ἑρπυστῆρος,
Λάθρα καὶ ἀμφαδίην κλέπτων φρένας ἐσθλὰ νοεῦσας.
Ἄλλοτε μέν τε θεῷ τείνω νόον. ἄλλοτε δ' αὖτε
Ἕλκομαι ἐς κόσμοιο κακὴν χύσιν. οὐκ ὀλίγην δὲ

Sed deo mittentis purum desiderium, neque fœminæ
Et Christo cedentis, totum e deo genitum,
Qui me per angustum'q; & difficile ad tenuem
Dirigens callis ianuam cum meliori pompa,
Minime accessam multis deo deum adduxit abhumo
Factum non genitum, & incorruptum ex morte
Cum imagine magni dei, & corpus auxilii socium
Trahens, ut magnes lapis candens ferrum,
Hei mihi, o malas & uindicandas res passa
Anima, o mortales inaniter gloriabundi. ut uere
Tenuibus auris similes, qui geniti sumus.
Vel & euripi retro cedente impetu
Voluimur in terra inaniter inflati.
Et nihil hominibus simile ad finem est,
Non malum, neque uero bonum. uiæ autem proxime sunt,
Neque malus hoc nouit in posterum quando desinet.
Neque bonis uirtus manet firmiter, sed mutilat,
Vt timor uitium, uirtutem inuidia. utrisque autem
Flecti hominum Christus quidem iussit genus.
Vt supra uergamus suum robur inspicientes.
Ille autem est optimus qui rectam uiam trahit,
Neque uolutatur sodomorum in cinerem solitariam,
Suam propter libidinem magno igne depopulatorum.
Fugit autem irruenter in montem, patriæ autem oblitus est,
Ne fabula & lapis salis in posterum relinquatur.
Testis ego, affectibus meis mortalis malitiæ.
Puer quidem existens, cum paruus in pectoribus intellectus
Solam umbratilem rationem & mores elegantes
Sequens, conscendebam supra splendentem sedem,
Vestigiis non errantibus proficiscens regia uia.
Nunc uero cum uerbum collegi, uitæ autem ad fines uenio,
Veluti ebrietate errantibus miser pedibus, oblique incedo.
Et me ponderat obliqui labor serpentis,
Clam & aperte occultas mentes bona intelligentes.
Interdum uero deo intendo mentem, interdum uero rursus
Trahor in mundi malum fluxum, non paruam autem

16

Partem meæ animæ læsit mundus infinitus.
Verum ego & si me mala occulit nigra,
Et atrum antea uenenum infundit hostis mis,
Veluti sepia uomens super aqua, sed tamen
Tantum adhuc inspicio & uideo, quantum optime
Sciam, quis existens, & quo desiderans ruere,
Vbi iaceo infelix, quantum'que in terram lapsus sum,
Aut etiam sub terra in lata barathra.
Neque consolationibus delector, neque sermonibus
Decipior, qui affectibus sunt auxiliatores, neque mensuris
Alieni uitii delector, ut quis optimus
Quæ enim incisis gratia laborantibus ferro
Aliorum incisorum uidere molestiorem dolorem?
Aut quæ malis utilitas sceleribus deteriorum?
E bonoq siquidem aliquis prestantiore bonus fructum ceperit,
Ita etiam malus, & enim aliquis uidens cæcis est adiumentum.
Delectari autem malis, perfectioris est malitiæ.
Si uero aliquis existentem malum existimat esse optimum,
Molestia est mihi, & cælatus in pectoribus luctus.
Melius est optimum existentem uideri malum, q̃ pessimum
Gloriam habentem boni, Sepulchrum mendax hominibus
Esse, quod marcentibus cadaueribus intus olens
Extrinsecus splendet calce & coloribus iucundis.
Oculum magnum tremamus, qui & infra terram
Aspicit, & ponti magnum profundum, & quæcunq; occulit
Mens hominum, secat autem nihil tempus, sed adsunt
Omnia deo. quopacto quis suum malum occultet?
Die autem supremo ubi occulemus nos ipsos?
Aut quis auxiliabitur? quopacto latebimus oculum dei?
Cum ignis discernet purgatorius actiones omnium,
Depascens uitii leuem naturam, siccam'que?
Hanc ego horreo, & timeo nocte, ac die
Intuens animam a deo decidentem humi,
Et puluerem prope accedentem, quem effugere cupiebam.
Ac ueluti cum hiberni in ripis fluuii
Aut pinum, aut platanum toto anno comantem

Μοῖραν ἐμῆς ψυχῆς λωβήσατο κόσμος ἀπείρων.
Αὐτὰρ ἐγὼ εἰ καί με κακὴ ἐκάλυψε μέλαινα,
Καὶ δνοφερόν περ πάροιθεν ἰὸν χέεν ἐχθρὸς ἐμεῖο,
Σκοτίη ὡς ἐμόγωσα καθ' ὕδατος, ἀλλὰ καὶ ἔμπης
Τόσσον ἔτ' εἰσορόω τε δέρκομαι, ὅσσον ἄριστα
Ἴδμεναι, ὅστις ἐὼν, καὶ οἱ παθέων ἀνορεῦσαι,
Οἰκεῖ μοι δύστηνος. ὅσον τ' ἐπὶ γαῖαν ὄλισθον
Ἠ καὶ γῆς ὑπένερθεν ἐς εὐρώεντα βέρεθρα.
Οὔτε παραιφασίῃσιν ἰαίνομαι, οὔτε λόγοισι
Κλέπτομαι, οἳ παθέεσσιν ἀρηγόνες. οὔτε μέζοισιν
Ἀλλοτρίης κακίης ἐπιτέρπομαι, ὥς τις ἄριστος.
Τίς γὰρ τεμνομένοισι χάρις μογέουσι σιδήρῳ
Ἄλλων τεμνομένων ὁράαν χαλεπώτερον ἄλγος;
Ἢ τί κακοῖσιν ὄνειαρ, ἀτασθαλίῃσι χερείων;
Ἐσθλοῦ μὲν γάρ κέν τις ἀρείονος ἐσθλὸς ἐπαύροι.
Ὧς δὲ κακός. καὶ γάρ τις ὁρῶν τυφλοῖσιν ὄνειαρ;
Τέρπεσθαι δὲ κακοῖσι, τελειοτέρης κακότητος.
Εἰ δέ τις ὄντα κάκιστον ὀΐεται ἔμμεν ἄριστον,
Ἄχθος ἐμοί. καὶ κρυπτὸς ἐνὶ στήθεσσιν ὀδυρμός.
Κρεῖσσον ἄριστον ἐόντα δοκεῖν κακὸν, ἢ κάκιστον
Κῦδος ἔχοντ' ἀγαθοῖο τάφον τε δύστην μερόπεσσιν
Ἔμμεναι. ὃς μυδόωσι νεκροῖς ἔνδοθεν ὀδωδώς,
Ἔκτοθεν ἀστράπτει κονίῃ καὶ χρώμασι τερπνοῖς.
Ὄμμα μέγα τρομέω μὲν, ὃ καὶ γαίης ὑπένερθε
Λεύσσει, καὶ πόντοιο μέγαν βυθὸν, ὅσσα τε κεύθει
Νοῦς μερόπων. τέμνει δ' οὐδὲν χρόνος. ἀλλὰ πάρεστι
Πάντα θεῷ. πῶς κέν τις ἐὸν κακὸν ἀμφικαλύπτοι.
Ἤματι δ' ὑστατίῳ πού κεύσομεν τὸ μέγ' αἶσχος.
Ἦ τίς ἀλεξήσει. πῶς λήσομεν ὄμμα θεοῖο,
Ἤν ἵνα πῦρ κρίνῃσι καθάρσιον ἔργματα πάντων,
Βοσκόμενον κακίης κοῦφον φύσιν, αὐαλέην τε.
Τῷ μὲν ἐγὼ τρομέω καὶ δείδια νύκτα καὶ ἦμαρ
Εἰσορόων ψυχὴν θεόθεν περιπτοιοῦσαν ἔραζε,
Καὶ χοὸς ἆσσον ἰοῦσαν. ὃν ἐκφυγέειν μενέαινον.
Ὡς δ' ὅτε χειμερίοιο παρ' ὄχθῃσιν ποταμοῖο
Ἠ πίτυν ἢ πλατάνιστον ἐπηετανὸν κομόωσαν,

17

Ῥηγνύμενος εἴξῃσι ῥόος δὲ κε λήθεται γείτων.
Τῆς δή τοι πρῶτον μὲν ὑπέχματα πάντα τίναξε.
Καὶ κρημνῷ μὲν ἔθηκεν ἐπήωρον. αὐτὰρ ἔπειτα
Βαιῇσι εἴξῃσιν ἐρυκομένην προθέλυμνον,
Κρημνοῦ ἀπορρήξας μεγάλαις ἐνὶ κάββαλε δίναις.
Καί μιν ἄγχι μεγάλῳ παταγῷ πέζῃσιν ἔδωκεν.
Ἔνθα δέ μιν ὄμβρος καὶ ἀφυσγετὸς αἰὲν ἐρείδων,
Σήψαν. ἀτιμότατον δὲ ξύφος παρὰ χείλεσι κεῖται.
Ὣς καὶ ἐμὴν ψυχὴν Χριστῷ θαλέθουσαν ἄνακτι,
Λάβρος ἐπαΐσσων χαμάδις βάλεν ἐχθρὸς ἀπειρής.
Ἧς πλεῖστον μὲν ὄλεσσε. μικρὸν δὲ τὸ λείψανον αὔτως
Πλάζεται ἔνθα καὶ ἔνθα. θεός γε μὲν αὖθις ἐγείραι.
Ὅς ῥα καὶ οὐδὲν ἐόντας ἐπήξατο. καὶ μετέπειτα
Λυομένους πήξει τε, καὶ ἐς βίον ἄλλον ἐρύσσει,
Ἢ πυρὸς, ἠὲ θεοῖο φαεσφόρου ἀντιάσοντας.
Εἴδε θεοῦ, καὶ ἅπαντας ἐς ὕστερον ἄλλοθι κεῖσθω.
Χεῖρες ἄναξ, εἰ καί με νεκρὸν καὶ ἀναλκίδα φωτὸς
Δυσμενέες καλέουσι, λάθρη δ᾽ ἐπιμυχθίζουσι,
Κινυμένας κεφαλῇσιν ἐμὴν πελόωντες ὀϊζύν,
Μή με λίπῃς χείρεσσιν ὑπ᾽ ἀντιβίοισι δαμῆναι.
Πρῶτα μὲν οὐρανίῃσιν ἐν ἐλπίσιν αὖθις ἐρείδοις.
Καί μοι σβεννυμένῳ τυτθὴν στάξειας ἐλαίου
Ἰκμάδα διψαλέῳ λύχνῳ φωστῆρος ἀρωγόν.
Ὥς κεν ἐγειρομένοιο πυρὸς, παλινάγρετον ἔλθῃ
Φῶς ἀναθηλήσαν. ζωῆς δὲ τύχοιμι φαεινῆς.
Δεύτερον ἄχθεα πάντα δίδοις ἀνέμοιο θυέλλαις
Ῥίψασθαι ἐμέθεν. πνοιὴν δ᾽ ὁπάσειας ἐλαφρὴν,
Οἷσιν ἄδην ἐδάμασσας ἐμὸν κέαρ. εἴτε με πικρῆς
Τινύμενος κακίης, εἴτ᾽ ἄλγεσιν, ὥς ὅτε πολλῶν
Παντοίοισι δρόμοισι, καὶ ἠλιβάτοισι δαμάζων.
Εἴτε τιν᾽ ὄγκον ἐμῆς ἴσχων φρενός. ὅς ῥα τάχιστα
Φύεται εὐσεβέεσσιν, ὅσοι νόον εἰσὶν ἐλαφροί.
Οἳ κακὸν ἐξ ἀγαθοῖο θεοῦ τῦφον ἁρπάζουσιν.
Εἴτε κακοῖς ἐθέλων σωτῆρα λόγον ἡμετέροισι
Παιδεῦσαι θνητοὺς βιότου στυγερὴν κακότητα
Ὣς οὐχ ἱσταμένου, πᾶσιν δ᾽ ἰθὺ πήματ᾽ ἄγοντος

Ἐσθλοῖο

Infractum radicibus fluentum lesit uicinum.
Huius sane primum quidem substentacula omnia quatiit,
Et præcipitio ipsam posuit pendentem, uerum deinde
Paruis radicibus se continentem, ramis conuolutam
E præcipitio abscindens medios iniecit in uortices,
Atque ipsam agens magno fragore saxis tradidit.
Vbi uero ipsam imber, & colluuies semper incumbens
Putrefecerunt, uilissimum autem frustrum in ripis iacet,
Sic & meam animam Christo germinantem regi
Vehemens irruens humi proiecit inimicus indomitus,
Cuius plurimum quidem perdidit, parua autẽ reliquia temere
Errat hinc & inde, Deus autem rursus excitet.
Qui sane & nihil existentes fixit, & in posterum
Solutos figet'q;, & in uitam aliam trahet,
Aut ignem, aut deum Luciferum offensuros.
Si uero deum, & omnes in posterum alibi positum sit
Christe Rex, & si me mortuum & imbellem uiri
Infensi uocant, clam autem subsannant
Motis capitibus meam ridentes miseriam,
Ne me dimiseris manibus ab aduersariis domari,
Primum quidem cœlestibus in spebus rursus firmes,
Et mihi extincto paruum instilles olei
Humorem sitibundæ lucernæ luminis auxiliatorem,
Vt excitato igne, reuertens ueniat
Lux repululans, uitam autem sortiar splendidam.
Secundo autem onera omnia des uenti procellis
Proiiciens a me, spiritum autem præbeas leuem,
Quibus abunde domitasti meum cor, siue me ab amaro
Vindicans uitio, siue doloribus, quemadmodum quãdo pullum
Variis cursibus, & arduis domitans,
Siue molem quandam meæ cohibens mentis, quæ sane celerrime
Innascitur piis, quicunq; mente sunt leues.
Qui malam ex bono deo superbiam arripiunt,
Siue malis uolens oseruator uerbum nostris
Erudire mortales, uitæ odisse malitiam
Velut non consistentis, omnibus autem calamitates inducentis

18

Bonis, atq; malis, uitam autem ad aliam festinare
Firmam, immotam, melioremq; piis,
Sed hæc quidem, sapientiæ magnis in profundis iacent.
Quæcunque ferunt uolubilis uitæ erudimenta mortalibus
Bona & deteriora, ratione autem omnia optima sunt,
Et si plura diffugiunt mentis crassitudinem nostræ.
Moues autem hinc & inde sapienter gubernacula mundi,
Quibus acti aspere scopulis malis
Vndam magnam traiicimus insidiossimæ uitæ,
Verum ego laborans, & calamitatibus omnigenis
Vexatus, flecto tibi genua. mitte mihi sane
Digito humenti siccam flãmam Lazarum cito
Linguam refrigeraturum. chaos autem me ne amplius prohibeat,
Neq; ab Abraam magnis finibus longe iaciat
Ditem in passionibus, tuam uero manum fortem
Immiseris. dolorum auté præbueris medicinam, me autem in oĩa
Miracula & monstroꝝ ostenderis robur, quemadmodum antea.
Dic & sanguineus fluxus desinat celerrime
Dic & in furorem agat suum gregem legionis
Spiritus, & in pelagis cadat, cedat autem a me,
Et lepram abigas iniucundam, & lux ueniat
Oculis non uidentibus, & aures uocem audiant,
Et siccam distendas meam manum, uinclaq; linguæ
Fregeris, sistas autem pedum incessum infirmũ
E pane autem saties pauco, straueris uero mare
Terribile, fulgeas autem clarius sole,
Consolides autem mẽbra grauata, e mortuis autem
Rursus suscitaueris graueolentem, neq; me infructuosum
Veluti ficum antea conspicatus, siccum perficias.
Alius quidem aliis auxiliatoribus Christe confidit
Sanguini & cineri, & supercilio hodie existenti,
Quidamque alio indigent auxiliatore nullius momenti.
Tibi uero ego soli, rex maxime solus derelictus sum,
Qui omnibus dominaris, & mihi robur es maximum.
Non me Vxor excolens immedicabiles dolores soluet,
Quæque & dolentem consolationibus oblectat

Ἐσθλοῖσ', ἡ δὲ κακοῖσι. βίον δ' αὖθι ἄλλον ἐπείγειν,
Ἔμπεδον, ἀστυφέλικτον, ἀρείονά τ' εὐσεβέεσσιν.
Ἀλλὰ τὰ μὲν σοφίης μεγάλοις ἐνὶ βένθεσι κεῖται,
Ὅσσα φέρει στρεπτοῖο βίου παιδεύματα θνητοῖσ
Ἐσθλά τε καὶ τὰ χέρεια, λόγῳ δέ τε πάντα φέρεισα,
Κὴν πλείω φεύγησι νόου πάχος ἡμετέροιο.
Νωμᾷς δ' ἔνθα καὶ ἔνθα σοφῶς οἰήϊα κόσμου,
Οἷσιν ἐλαυνόμενοι ζηχὺ ἀπλάδεσσι κακῇσι,
Λαῖτμα μέγ' ἐκπερόωμεν ἀπιστοτάτου βιότοιο.
Αὐτὰρ ἐγὼ μογέων, καὶ πήμασι παντοδαποῖσι
Τειρόμενος, κάμπτω σοὶ γούνατα. πέμψον ἔμοιγε
Δακτύλῳ ἱκμαλέῳ ξηρὴν φλόγα λάζαρον ὥσπερ
Γλῶσσαν ἀναψύξοντα. χάος δέ με μηκέτ' ἐρύκοι.
Μὴ δ' Ἀβραὰμ μεγάλων κόλπων ἀποτηλόθι βάλλοι
Πλούσιον ἐν παθέεσσι. τεὴν δ' ἐπὶ χεῖρα κραταιὴν
Πέμψειας. ἀχέων δὲ πόροις ἄκος. εἰς δέ με πάντα
Θαύματα καὶ τεράτων δείξαις σθένος, ὡς τὸ πάροιθεν.
Εἶπε, καὶ αἱμαρρέεσσα ῥύσις λήξειε τάχιστα.
Εἶπε, καὶ ἐκ μὲν ἔφε συῶν ἀγέλην λεγεῶνος
Πνεῦμα, καὶ ἐν πελάγεσσι πέσοι. χάζοιτο δ' ἐμεῖο.
Καὶ λέπρην ἐλάσειας ἀτερπέα. καὶ φάος ἔλθοι
Ὄμμασιν οὐχ ὁρόωσι. καὶ οὔατα φθόγγον ἀκούοι.
Καὶ ξηρὴν τανύσειας ἐμὴν χέρα. δεσμά τε γλώσσης
Ῥήξειας. στήσαις δὲ ποδῶν βάσιν ἀσθενέουσαν.
Ἐκ δ' ἄρτου κορέσαις ὀλίγου. στορέσαις δὲ θάλασσαν
Δειμαλέην. στράψαις δὲ φαάντερον ἠελίοιο.
Πήξαις δὲ μέλη βεβαρηότα. ἐκ νεκύων δὲ
Αὖθις ἀναστήσειας ὀδωδότα. μὴ δέ μ' ἄκαρπον
Οἷα συκῆν τὸ πάροιθεν ἰδὼν ξηρὸν τελέσειας.
Ἄλλος μὲν τ' ἄλλοισιν ἀρηγόσι χριστὲ πέποιθεν
Αἵματι καὶ τέφῃ, καὶ ὀφρύϊ σήμερον οὔσῃ,
Οἱ τ' ἄλλου χατέουσιν ἀρηγόνος οὐτιδανοῖο.
Σοὶ δ' ἄρ' ἐγὼ μούνῳ βασιλεῦ τά τε μοῦνος ἐλείφθην,
Ὃς πάντων κρατέεις, καί μοι σθένος ἐστὶ μέγιστον.
Οὔ μ' ἄλοχος κομέουσα δυσαλθέα κήδεα λύσει,
Ἤ τε καὶ ἀσχαλόωντα παρηγορέῃσιν ἰαίνει.

Οὐδὲ φίλοις παίδεσσιν ἀγάλλομαι, οἷς τόδε γῆρας
Ὀρθοῦται νεαροῖσιν ὑπ' ἴχνεσιν αὖθις ὀλισθόν.
Οὐδὲ κασιγνήτοισ' ἐπὶ τοῖς πόνοις μου, ἀλλ' ἑτάροισι.
Τοὺς μὲν γὰρ στυγερὸς μόρος ἥρπασεν. οἱ δὲ φιλοῦντες
Νηνεμίην, ἑτάρων ὀλίγην φῖκα ζομέουσι.
Ξεῖνον τὴν πολλὴν οἴην ἔχον, ὥς ὅτε πηγὴν
Διψαλέῃ ψυχῇ ἔλαφος χυδὸν, αὐδήσας ἀρίστοις
Χεισοφόρους ζώοντας ἐνὶ χθονὶ σαρκὸς ὕπερθεν,
Πνεύματος ἀενάοιο φίλοις, ἐπὶ λάτρειας ἐσθλοὺς,
Ἀζυγέας, κόσμοιο περίφρονας. ἀλλὰ καὶ αὐτοὶ
Μαρνάμενοι περὶ σεῖο διακριδὸν ἔνθα καὶ ἔνθα
Ἵστανται. ζῆλος δὲ θεοῦ λῦσε θεσμὸν ἀθέσμως,
Ἁρμονίην τ' ἀγάπης, ἧς οὔνομα μοῦνον ἐλείφθη.
Ὡς δ' ὅτε τις τε λέοντα λιπὼν ἄρκῳ πελάσειε
Μαινομένῃ, καὶ τήνδε φυγὼν ἐς δῶμα πέσῃσιν
Ἀσπασίως, καὶ χεῖρα ἑὴν πρὸς τοῖχον ἐρείσῃ,
Ἔνθεν δ' ἐκ προθορὼν μιν ὄφις τύψῃσιν ἀέλπτως,
Ὣς καὶ ἐμοὶ πολλοῖσιν ἐλαυνομένῳ παθέεσσιν,
Οὐδὲν ἄκος καμάτοιο. τὸ δ' ἄλγιον, ὅττι κεν εὕρω.
Πάντη δ' ἀθρήσας τε καὶ ἐν πάντεσσι μογήσας,
Ἔκ σέθεν εἰς σὲ μάκαρ λύσασθαι πάλιν, ἄλκαρ ἐμοῖο,
Γαντοκράτορ, ἀγένητε, καὶ ἀρχὴ, καὶ πάτερ ἀρχῆς
Υἱέος ἀθανάτοιο, φάος μέγα φωτὸς ὁμοίου
Ἐξ ἑνὸς εἰς ἓν ἰόντος ἀτεκμάρτοισι λόγοισιν.
Υἱὲ θεοῦ, σοφίη, βασιλεῦ, λόγε, ἀτρεκίητε,
Εἰκὼν ἀρχετύποιο, φύσις γεννήτορος ἴση,
Ποιμὴν, ἀμνὲ, θύος τε, θεὲ, βροτὲ, ἀρχιερεῦ τε,
Πνεῦμα θ' ὃ πατρόθεν εἶσι νόου φάος ἡμετέροιο
Ἐρχόμενον καθαροῖσι, θεὸν δέ τε φῶτα τίθησιν,
Ἵλαθι, καί μοι ὄπασσον ἐπιπλομένοις ἐνιαυτοῖς,
Ἔνθα δὲ καὶ μετέπειτα ὅλῃ θεότητι μιγέντα,
Γηθοσύνως ὕμνοισι σε διηνεκέεσσι γεραίρειν.

ΠΑΡΘΕΝΙΗΣ ΕΠΟΣ.

Παρθενίην στεφάνοις ἀναδήσομεν ἡμετέροισιν
Ἐκ καθαρῆς κραδίης καθαροῖς μέλποντες ἐν ὕμνοις.
Τοῦτο γὰρ ἡμετέροιο βίου ξεινήιον ἐσθλὸν,

N eqꝫ caris filiis exulto, a quibus ſenectus
E rigitur iuuenilibus ſub ueſtigiis rurſus gradiens.
N eqꝫ fratribus delector, neque ſociis,
I llos enim odioſa mors rapuit, hi uero amantes
T ranquillitatem, ſociorum paruum horrorem timent.
I llam oblectationem ſolũ habebã queadmodũ cũ fontẽ
S itibunda frigidum cerua prope eſt, uiros optimos
C hriſtiferos uiuentes in terra ſupra carnem,
S piritus perennis amicos, & cultores bonos,
I niugatos, mundi deſpectores, ſed & ipſi
P ugnantes pro te egregie hinc & inde
S tant, emulatio autẽ dei ſoluit legẽ illegitime,
C ompagem caritatis, cuius nomen ſolum eſt relictum.
A c ueluti cum quis leone relicto urſæ adhæſerit
I nſanienti, & hanc effugiens intra domum ruerit
L ibenter, & manum ſuam ad parietem firmarit,
I nde proſiliens ipſum ſerpens percuſſerit inſperate,
S ic & mihi multis agitato affectibus
N ullum medicamẽtũ laboris. dolẽtius ãt ẽ qđcũqꝫ offendero,
V ndiqꝫ autem aſpiciensqꝫ & in omnibus laborans
A te in te beate aſpicio rurſus, auxilium meum
O mnipotens. ingenite, ſine principio & pater principii
F ilii immortalis, lux magna lucis ſimilis
A b uno in unum euntis incõiectabilibus rationibus
F ili dei, ſapientia, rex, uerbum, ueritaſqꝫ,
I mago archerypi, natura genitoris æqualis,
P aſtor, agne. uictimaqꝫ deus, mortalis, pontifexqꝫ,
S pirituſqꝫ qui a patre procedit, mentis lux noſtræ
V eniens puris, deum autem hominem efficit,
P ropitiare, & mihi præbeas uertentibus annis,
H ic & poſtea toti diuinitati admixtum
L ætabunde hymnis te continuis honorare.

VIRGINITATIS CARMEN.

u Irginitatem coronis deuinciamus noſtris
Ex puro corde puris concinentes in hymnis,
Hoc enim noſtræ uitæ munus eſt bonum

Auroq; & electro lucidius,atq; elephante
Quibus uitam terrenam humi proiecit uirgineus stimulus.
A d deum celsiregem mentis pennas inde eleuans,
I ncepto autem hymno una delectemini sane puri
C ommunis enim omnibus hymnus est honos sanctis,
I nuidi autem foribus obstruamini aures,
S i uero aliquis aperuerit,lustretur mentem uerbo.
V irginitas magnopere salue,adeo data,datrix bonorum,
M ater innocentiæ,Christi sors,cœlestibus
P ulchritudinibus iniugatis coniugata,iniugati nãq;
P rimũ deus· deinde uero dei chorus semper existentis
Quippe hic quidem,fons luminum,lumen neq; nominabile
N eq; prehensibile,fugiensque mentis pnicitatẽ,ppe euntis
S emper subexcurrens omniũ mentes,ut desyderiis
T rahamur in altum semper nouum,q autẽ lumina
S ecunda sunt ex trinitate regiam gloriam habente.
P rima uirginitas est sancta trinitas,quippe ex inexorso
P atre,filius rex neq; alicunde progresso,
I pse enim omnibus est uia & radix & principium,
N eque filium hominum more procreantis,
S ed uelut ex luce lux uenit,ex filio uero
N on amplius filius amabilis similem gloriam trahens.
V t hic quidem maneat genitor totus·ut uero ille filius
V eluti & solius solissimus in unum conuenientes
S piritu cum magno,quod ex patre procedit simile,
V nus deus in tribus apertus luminibus
T alis quidem est trinitatis pura natura,ex illa aũt utique
A angeli nitentes,informes,qui sedem
Circa magnam conuenientes,quoniam mentes sunt leues,
I gnis & spiritus diuini per aerem perniciter Currentes,
C onfestim magnis subeunt mandatis,
H is quidem neque nuptiæ,neque dolores, non curæ,
N on affectuũ turbulentia grauis pnitiosa,non membris
S cinduntur,neque domiciliis concordes in uicem
S ibi autẽ idem unusqsque,una natura,unaque intellectio,
V num desiderium circa regem deũ magnũ,neq; qcq̃ filiis

Χρυσοῦ τ' ἠλέκτρου τε φαάντερον, ἠδ' ἐλέφαντος.
Οἷος ζωὴν χθονίην χαμάδις βάλε παρθένος οἶστρος,
Πρὸς θεὸν ὑψιμέδοντα νόου πτερὸν ἔνθεν ἀείρων.
Ἀρχομένου δ' ὕμνοιο συνιαίνοισθε μὲν ἁγνοί.
Ξεινὸν γὰρ πάντεσσιν ὕμνος τέρας εὐαγέεσσιν.
Οἱ φθονεροὶ δὲ, θύρησιν ἐπιφράσσοισθε ἀκουάς.
Εἰ δέ τις ἀμπετάσειεν, ἀγνίζοιτο φρένα μύθῳ.
Παρθενίη μέγα χαῖρε, θεόσδοτε, δῶτορ ἑάων,
Μήτηρ ἀπημοσύνης, Χριστοῦ λέχος, οὐρανίοισι
Καλλέεσιν ἀζυγέεσσιν ὁμόζυγε. ἀζυγέες γὰρ,
Πρῶτα θεὸς, μετέπειτα θεοῦ χορὸς αἰὲν ἐόντος.
Ἤτοι ὁ μὲν, πηγὴ φαέων, φάος οὔτ' ὀνομαστὸν,
Οὔθ' ἑλετὸν, φεύγον τε νόου τάχος ἐγγὺς ἰόντος,
Αἰὲν ὑπεκπροθέον πάντων φρένας, ὥς κε ποθοῖσιν
Ἑλκόμεθα πρὸς ὕψος ἀεὶ νέον. οὐδέ τε φῶτα
Δεύτερα ἐκ τριάδος βασιλήϊον εὖχος ἔχουσιν.
Πρώτη παρθένος ἐστὶν ἀγνὴ τριάς. ἐκ μὲν ἀνάρχου
Πατρὸς, υἱὸν ἄναξ οὔτ' ἔκποθεν ὁρμηθέντος,
Αὐτὸς γὰρ πάντεσσιν ὁδὸς καὶ ῥίζα καὶ ἀρχὴ,
Οὔτε πάϊν θνητοῖσιν ὁμοίϊα γεινομένοιο,
Ἀλλ' ὡς ἐκ σέλαος σέλας ἔρχεται. ἐκ δ' ἄρα παιδὸς,
Οὐκέτι παῖς ἀγαπητὸς ὁμοίϊον εὖχος ἐφέλκων.
Ὥς κεν ὁ μὲν μίμνῃ γενέτης ὅλος. αὐτὰρ ὅ γ' υἱὸς
Οἷον καὶ μούνοιο μονώτατος εἰς ἓν ἰόντε
Πνεύματι σὺν μεγάλῳ, τὸ, πατρόθεν εἶσιν ὁμοῖον.
Εἷς θεὸς ἐν τριάσιν ἀνοιγόμενος φαέεσσι.
Τοίη μὲν τριάδος καθαρὴ φύσις. ἐκ δ' ἄρ' ἀκείνης,
Ἄγγελοι αἰγλήεντες, ἀειδέες, οἵ ῥα θόωκον
Ἀμφὶ μέγαν βεβαῶτες ἐπεὶ νόοι εἰσὶν ἐλαφροὶ,
Πῦρ καὶ πνεύματος θεῖα δι' ἠέρος ὦκα θέοντες,
Ἐσσυμένως μεγάλῃσιν ὑποδρήσσουσιν ἐφετμαῖς.
Τοῖσι μὲν οὔτε γάμος, οὔτ' ἄλγεα, οὐ μελεδῶναι,
Οὐ παθέων κλόνος αἰνὸς ἀτάσθαλος, οὐ μελέεσσι
Σχίζοντ', οὐδὲ δόμοισιν ὁμόφρονες ἀλλήλοισιν.
Αὐτῷ ταὐτὸς ἕκαστος. ἴη φύσις, ἕν τε νόημα,
Εἷς πόθος ἀμφὶ ἄνακτα θεὸν μέγαν. οὐδέ τι παισὶ

Τέρπον τ', οὔτ' ἀλόχοισι, γλυκὺν πόνον ἀμφιέποντες.
Οὐ πλοῦτος κείνοισιν ἐράσμιος, οὐδ' ὅσα θνητοῖς
Γαῖα φέρει κακίης μελεδήματα. οὐκ ἀρόουσιν,
Οὐ πελάγει πλώουσιν ἀπειρέος εἵνεκα γαστρός.
Γαστρὸς ἀρχεκάκοιο. σοφὴ μία πᾶσιν ἀρίστη
Δαίνυσθαι μεγάλοιο θεοῦ νόον, ἠδὲ φαεινὸν
Ἕλκειν ἐκ τριάδος σέλας ἄπλετον. οἰόβιοι δὲ
Ζώουσιν καθαροῖο θεοῦ καθαροὶ θεράποντες,
Ἁπλοΐ τε, νοεροί τε, διαυγέες. οὔτ' ἀπ' ἐρήμων
Ἀρχόμενοι, σάρκες γὰρ ἐπεὶ πάγεν, αὖθις ὀλοῦνται,
Οὔτ' ἐπὶ σάρκας ἰόντες, ὅπερ δ' ἐγένοντο μένοντες.
Τοῖς μετὰ παρθενίη θεοείκελος οἶμος ἐστὶ μὲν
Γρὸς θεὸν, ἑσπομένη τε νοήμασιν ἀθανάτοιο
Νωμῶντος μεγάλοιο σοφῶς οἰήια κόσμου.
Ἐν δὲ καὶ οὐρανίδην χθόνιον μεγαλήτορα θνητοῖς,
Ἀνθρώπων μογεράων ἱερὸν γένος, εὖχος ἄνακτος.
Εἰδ' ἁγνῶν ἔργῳ μυστήρια κεδνὰ θεοῖο,
Παρθενίη τε χρόνοισιν ὅπως πυμάτοισιν ἔλαμψεν.
Ἦν ποτ' ἐὼν, ὅτε πάντα κελαινὴ νὺξ ἐκάλυπτεν.
Οὐδ' ἄρ' ἐὼν υἱὸς ὁρατὸν φάος. οὐδὲ κέλευθον
Ἠέλιος πυρόεσσαν ἐπέσσυτ' αἰγλήεντος.
Οὐ μήνη κερόεσσα φαείνετο, νυκτὸς ἄγαλμα.
Πάντα δ' ἅμ' ἀλλήλοισι φορεύμενα, μάψ τ' ἀλάληντο
Πρωτογόνου χάεος ζοφεροῖς δεδμημένα δεσμοῖς.
Ἀλλὰ σὺ Χριστὲ μάκαρ πατρὸς μεγάλου φαείνῃσι
Πειθόμενος, τὰ ἕκαστα διέκρινας εὖ κατὰ κόσμον.
Ἦτοι μὲν πρώτιστα φάος γένεθ', ὥς κεν ἅπαντα
Ἔργα πέλοι χαρίεντα φάους πλέα. αὐτὰρ ἔπειτα
Οὐρανὸν ἀστερόεντα κυκλώσαο θαῦμα μέγιστον,
Ἠελίῳ μήνῃ τε διαυγέα. τοῖσιν ἔθηκας,
Τῷ μὲν ἀριπρεπέειν ἐπ' ἀνθρώποισι φαείνειν
Φωτὸς ἀπειρεσίοιο ῥοαῖς, καὶ ὥρας ἐλίσσειν.
Τῇ δὲ κνέφας σελάειν, καὶ δεύτερον ἦμαρ ὀπάζειν.
Τῷ δ' ὑπὸ γαῖαν ἔθηκας ἐμὸν πέδον. ἐν δὲ θάλασσαν
Γαίης ἀγκαλίδεσσιν ἔδησας. γῆν δὲ θαλάσσῃ
Ὠκεανοῦ κόλποισι περίρρυτον. ὡς δὲ τὰ πάντα

D electantur,neque uxoribus, dulcem laborem fouentes,
N on diuitiæ illis amabiles,neqꝫ quæcũqꝫ mortalibus
T erra fert uitii meditamenta,non arant.
N on maria nauigant indomiti causa uentris
V entris,originis mali,cibus unus omnibus optimus
V esci dei magni mentem,atqꝫ illustri
T rahere ex trinitate lucem infinitam,solitarii autem
V iuunt puri dei puri serui,
S implicesqꝫ,intellectualesqꝫ,splendidi,neqꝫ a carnibus
I ncipientes,carnes enim postq̃ cõpactæ sunt rursus peribunt,
N eqꝫ ad carnes ꝓficiscentes,quod aũt facti sunt manentes,
C um his uirginitas deo similis,uia parata
A d deum,sequensqꝫ intellectiones immortalis
V ersantis magni sapienter gubernacula mundi
Intra uero & cæleste terrenum magnanimũ mortale,
H ominũ laboriosorum sacrum genus,gloriam regis,
S ed age nunc dicam mysteria gloriosa dei
V irginitasqꝫ temporibus quomodo postremis effulxit,
E rat olim erat,cum omnia atra nox occulebat,
N eqꝫ uero erat auroræ amabilis lux,neque iter
S ol igneum agitabat ab exortu,
N on luna cornigera apparebat,noctis effigies.
O mnia aũt simul in uicem lata temere errabant
P rimigeni chaus tenebrosis domita uinclis.
S ed tu Christe beate patris magni consiliis
P arens,singula discreuisti bene secundum ornatum,
Quippe primum lux facta est, ut omnia
O pera cessent gratiosa luce plena,uerum deinde
C œlum sydereum rotundasti,miraculum maximum,
S ole & luna splendens,quibus dixisti,
I lli quidem auroram in hominibus monstrare
L ucis infinitæ fluxibus.& horas uoluere.
H uic uero obscuritatem illuminare,& secundũ diẽ præbere,
Sub hoc terram posuisti meum solum,atqꝫ mare
T erræ finibus deuinxisti. terram autem mari
O ceani finibus circũfluam,sic autem omnia

22

O rnatus erat, terraque & cœlum, atque mare,
C œlum, cœleſtibus exultans luminibus
P ontus aũt natatilibus, pedeſtribus autem terra celſa
I nſpiciens uero tunc deinde & apta omnia intelligens
D electabatur filii regis concordibus in operibus,
Quærebat & ſapientiæ ſcium parentis omnium,
E t terrenorũ regem deiformem, & hoc dixit.
I am quidem puri & perpetui ſerui
C œlum latum obtinent, ſanctæ mentes, angeli boni.
C antatores, cõcinentes meã gloriam nunq̃ deſinentem,
T erra uero adhuc animalibus exultat inconſultis.
M ixtum adhuc utrinque mihi genus placuit cõponere
M ortaliũ imortaliũque itellectualẽ hominẽ intermedium.
D electantẽ meis opibus, & mente præditum ſacerdotem
C œleſtiũ, terreſtriumque magnum impiũ, angelũ alium,
E terra, cantorẽque mearũ uirium, mentiſque,
S ic igitur dixit, & partem capiens nup cõpactæ terræ.
M anibus imortalibus meam conſtituit formam,
Huic uero ſuam uitam impertitus eſt, immiſit enim
S piritum, qui ſane diuinitatis ppetuæ eſt pars abſciſa,
E x puluere aũt ſpirituque, homo factus eſt immortalis
I mago, & enim regina mentis natura utrique.
Quapp & e uitis hanc quidem amo ob terram
I llius uero deſiderium in pectoribus gero diuinã ob partem.
V erũ poſtq̃ diuinum qdem in terra figmentum apparuit
E t terræ in cauitatibus ſemper germinantis paradiſi,
H uius nõdum aliquis auxiliator ſimilis erat uitæ,
T unc uero cõſulti uerbi hoc miraculum maximum,
M ortalem quem fabricarat ſui admiratorem mundi,
R adicem meam, & ſemen multifidæ uitæ,
B ifariam partiens magna uiuaci manu
C oſtam ex ilibus unam tulit, mulierem quippe
F abricatus, & amorem in pectoribus temperans
A mbobus, mandauit inuices ferri,
N on omnibus neque ad oẽs, terminũ aũt ĩpoſuit deſyderiis,
Quẽ ſane nuptias uocant, materiæ imodicæ habenas,

Κόσμος ἔην, γαίη τε, καὶ οὐρανὸς, ἠδὲ θάλασσα.
Οὐρανὸς, οὐρανίοισιν ἀγαλλόμενος φαέεσσι.
Πόντος δὲ πλωτοῖσι. πεζοῖς δέ τε γαῖα πέλωρη.
Ἀθρήσας τότ' ἔπειτα καὶ ἀρτιμένα πάντα νοήσας,
Τέρπετο παιδὸς ἄνακτος ὁμοφρονέουσιν ἐπ' ἔργοις.
Ἵζετο καὶ σοφίης ἐπιΐστορα μητρὸς ἁπάντων,
Καὶ χθονίων βασιλῆα θεούδεα, καὶ τόδ' ἔειπεν.
Ἤδη μὲν καθαροὶ καὶ ἀείζωοι θεράποντες
Οὐρανὸν εὐρὺν ἔχουσιν, ἁγνοὶ νόες, ἄγγελοι ἐσθλοί,
Ὑμνοπόλοι, μέλποντες ἐμὸν κλέος οὔποτε λῆγον.
Γαῖα δ' ἔτι ζώοισιν ἀγάλλεται ἀφραδέεσσι.
Μικτὸν ἔτ' ἀμφοτέρωθεν ἐμοὶ γένος εὔαδε πῆξαι
Θνητῶν τ' ἀθανάτων τε νοήμονα φῶτα μεσηγὺ,
Τερπόμενόν τ' ἔργοισιν ἐμοῖς, καὶ ἐχέφρονα μύστην
Οὐρανίων, χθονίων τε μέγα κράτος, ἄγγελον ἄλλον,
Ἐκ χθονὸς ὑμνητῆρα τ' ἐμῶν μενέων τε, νόου τε.
Ὣς ἄρ' ἔφη. καὶ μοῖραν ἑλὼν νεοπαγέος αἴης,
Χείρεσιν ἀθανάτῃσιν ἐμὴν ἐστήσατο μορφήν.
Τῇ δ' ἄρ' ἑῆς ζωῆς μοιρήσατο, ἐν γὰρ ἧκε
Πνεῦμα, τὸ δὴ θεότητος ἀειδέος ἐστὶν ἀπορρώξ.
Ἐκ δὲ χοὸς πνοιῆς τε, βροτὸς γένετ' ἀθανάτοιο
Εἰκών. ἡ γὰρ ἄνασσα νόου φύσις ἀμφοτέροισι.
Τοὔνεκα καὶ βιότῳ τὸν μὲν στέργω διὰ γαῖαν,
Τὸν δ' ἕτερον ἐν στήθεσσιν ἔχω θείην διὰ μοῖραν.
Αὐτὰρ ἐπεὶ θεῖον μὲν ἔτι χθονὶ πλάσμα φαάνθη,
Καὶ χθονὸς ἐν γυάλοισιν ἀειθαλέος παραδείσου,
Τοῦ δ' οὔπω τις ἀρωγὸς ὁμοίιος ἔσκε βίοιο,
Δὴ τότε μητιέταο λόγου τόδε θαῦμα μέγιστον,
Τὸν βροτὸν, ὅν περ ἔτευξεν ἑοῦ θηήτορα κόσμου,
Ῥίζαν ἐμὴν, καὶ σπέρμα πολυχρονέος βιότοιο,
Ἄνδιχα μοιρήσας μεγάλῃ ζωαρκέϊ χειρὶ
Γλευρὴν ἐκ λαγόνων μούνην ἕλε, τὴν ῥα γυναῖκα
Δειμάμενος, καὶ φίλτρον ἐνὶ στέρνοισι κεράσσας
Ἀμφοτέροις, ἐφέηκεν ἐπ' ἀλλήλοισι φέρεσθαι,
Οὐ πᾶσ' οὐδ' ἔτι πάντας, ὅρον δ' ἐπέθηκε πόθοισιν,
Ὅν ῥα γάμον καλέουσ', ὕλης ἀμέτροιο χαλινόν,

23

Ὣς μὴ μαιμώωσα, καὶ ἄχθεα μὴ γαίνουσα,
Γροφονέως ἀγεληδὸν ἐπ' ἀλλήλοισιν ἰόντων
Ῥήξειεν μερόπων ἱερὸν γένος ἐκ φιλότητος
Ἀζυγέος, πολέμους δὲ καὶ ἄχθεα πᾶσιν ὀρίνῃ
Οἶστρος ἀσημάντοισι φορεύμενος ἀφραδίῃσιν.
Ὄφρα μὲν οὖν μήτειρα βροτῶν ἐπεδεύετο γαῖα,
Οὐδ' εἶχεν κόσμον τὸν ὑπέρτατον, ὥσπερ ἔμελλεν,
Ἀλλὰ καὶ ὁ πρώτιστος ἀτασθαλίῃσιν ἑῇσι,
Βασκανίῃ τε δράκοντος ἀδευκέος ἐκ παραδείσου
Βληθεὶς ἀνδροφόνοιο φυτοῦ διὰ γεῦσιν ἀλιτρὴν,
Δερματίνοισι χιτῶσιν ἑὴν ἔβρισ' ἐπὶ γαῖαν,
Τόφρα δὲ καὶ δυὰς ἦεν ἐν ἀνθρώποισιν ἀρίστη,
Καὶ γάμος, ἀνδρομέης γενεῆς φύσις, ἄλκαρ ὀλέθρου.
Ὥς κεν ἀπολλυμένων τε καὶ ἐρχομένων μετόπισθεν
Εἴληται μερόπων ζεπτὸν γένος, οἷα ῥέεθρον,
Ἄστατον ἐκ θανάτοιο, καὶ ἱστάμενον τεκέεσιν.
Αὐτὰρ ἐπεὶ κόλποι τε, καὶ εὐρέα πείρατα γαίης,
Ἀντολίη τε δύσις τε, νότου πλευρὴ, βορέου τε
Γλῆθεν ἐφημερίων, ὕβριν δ' ὑπέζεσεν ἰλὺς,
Καὶ πολλοῖσι πάρος παιδεύμασι πλάσμα δαημαθὲν
Γλώσσαις τεμνομένῃσι, καὶ ὕδασι, καὶ πυρὸς ὄμβροις,
Καὶ γραπτοῖο νόμοιο διδάγμασιν, ἠδὲ προφήταις,
Οὐκ ἔθελε πρωτίστης κακίης ἀπὸ δεσμὰ τινάξαι,
Ἀλλ' αἰεὶ στερεοῖσιν ἐν ἅμμασιν εἴχετο σαρκὸς,
Μαχλοσύναις τε μέθαις τε καὶ εἰδώλοισι μεμηνὼς,
Ὕστατιον τοίησδε φίλον γένος ἔμμορε τιμῆς
Νεύμασιν ἀθανάτοιο πατρὸς καὶ ἔργμασι παιδὸς.
Θεὸς, ὅσον βροτέῳ ἐνὶ σώματι κάτθετο μοίρης
Οὐρανίης, λυσάτων κακίης ὑπὸ θυμοβόροιο
Δαπτόμενον, σκολιόν τε βροτῶν μεδέοντα δράκοντα,
Ὥς κεν ἀναστήσειεν ἑὸν λάχος, οὐκέτι νοῦσον
Ἄλλοισιν ἐφέηκεν ἀρηγόσιν, οὐ γὰρ ἐπαρκὲς
Τοῖς μεγάλοις πάθεεσσι μικρὸν ἄκος, ἀλλὰ κενώσας
Ὃν κλέος, οὐράνιός τε καὶ ἄζοπος οὐρανίοιο
Εἰκὼν, ἀνδρομέοις τε καὶ οὐ βροτέοισι νόμοισι
Σεμνοῖς ἐν σπλάγχνοισιν ἀπειρογάμοιο γυναικὸς

N e insaniens, & libere furens
P rompte gregatim inter se coeuntium
Rumperet hominum sacrum genus ex amore
I niugato, bella autem & molestias omnibus agitaret
S timulus indesignatis delatus temeritatibus.
Quousq; igitur mater mortalium indigebat terra
N eq; teneb at ornatum supremum, ut debebat,
S ed & primus sceleribus suis
I nuidiaq; draconis immitis e paradiso
E iectus homicidæ plantæ ob gustum erroneum,
P elliceis tunicis suam onerauit terram,
E ousq; & duitas fuit in hominibus optima,
E t nuptiæ, humanæ sobolis natura, remedium perniciei.
V t pereuntibusque & uenientibus retro
T raheretur hominum mutabile genus ueluti fluentum,
I nconst ans e morte, & consistens filiis,
V erum postq̃ sinusque, & lati fines terræ,
O rtusq;, occasusq;, austri latus boreæque
I mpleta sunt hominibus, contumeliam autẽ efferbuit cœnũ,
E t multis antea rudimentis figmentum domitum
L inguis sectis, & aquis, & ignis hymbribus,
E t scriptæ legis documentis, atque prophetis,
N oluit primæ malitiæ uincla excutere,
S ed semper solis in nexibus tenebatur carnis,
A dulteriisq; ebrietatibusq; & idolis insaniens
P ostremo talem amicum genus sortitus est honorem
N utibus immortalis patris & operibus filii,
D eus quantum mortali in corpore deposuit partis
C œlestis, uidens a malitia animiuora
L aceratum, & malignũ hominibus dominantẽ draconem,
V t erigeret suam sortem, non ulterius morbum
A liis permisit curatoribus, non enim sufficiens
M agnis affectibus parua medela, sed exinaniens
S uam gloriam, cœlestisque & immutabilis cœlestis
I mago, humanisq; & non mortalibus legibus
V enerandis in uisceribus intemeratæ mulieris

I ncarnatus, o miraculum imbecillissimis incredibile,
V enit deus, mortalisq;, naturas duas in unũ congregans,
I llam quidem occultam, hanc uero manifestam hominibus.
E x q̃bus deus illa q̃dẽ erat, hæc aũt postremo nobis fabricata est
T unc cum in uisceribus mixtus est deus humanis,
V nus deus utrinq;, quoniam diuinitate temperatus,
E t mortalis ex diuinitate rex & Christus substitit,
N oua aũt extitit mixtio, quoniam priorem uilipendi.
P rimum ego spiritum diuinum sortitus sum, postremo autem
C hristus meam animamq; & membra omnia suscepit.
I llum adam primum liberum, qui nudus erat
A peccato, priusq̃ serpentemq; uideret, fructumq; gustaret,
E t mortem, animũ aũt conceptibus nutriebat simplicibus
C ælestibus, sacerdosq; dei, diuinorumq; splendidus,
H unc q̃dem reformans, mortalem deus in naturam uenit,
V t luctatusque, & e morte interemptorem
S uperans gustumque felle, & manus illicitas
C lauis, cruceq; plantam, & altitudine terram
A d uitam rediuiuam adam & gloriam reduceret,
T erminus autem explicans sacrum corpus suũ, mortalẽ ipse
E finibus collegit & in unum deuinxit hominem
E t magnæ diuinitatis in ulnis posuit,
Sanguine quidem agni maculamenta omnia expurgans,
V iæ autem cœlestis mortalibus scelus inde leuans.
O rex quis uero tuam mentem & profunditatem inueniat,
Qui guttarum pluuiæ, & qui marinæ arenæ
N ostri numerum omnem, & qui uenti uias,
Quis uero rursus nouerit tuæ beatæ uestigia uoluntatis,
A lte regens. qui omnia intueris, & omnia gubernas,
A euum quot occulit infinitum, in te autem intendens
M ens hominum paruam lucem uidet, ueluti celerrime
F ulgetram fugientem ab aere, sed hoc tamen
V erum est, quod passionibus tuis mortalem inde tollens
I n uitam aliam posuisti liberam pro mala
A ntea quidem parturiebat uita & mundus humi
E t terrestrium regem multus circumstabat populus.

Σ αρκωθεὶς, ὦ θάμβος ἀφαυροτάτοισιν ἄπιστον,
Ἦ λθε θεὸς θνητός τε, φύσεις δύο εἰς ἓν ἀγείρας,
Τ ὴν μὲν, κευθομένην, τὴν δ' ἀμφαδίην μερόπεσσιν.
Ὧ ν θεὸς ἡ μὲν ἔην, ἡ δ' ὕστατον ἄμμιν ἐτύχθη,
Τ ῆμος, ὅτ' ἐν σπλάγχνοισι μίγη θεὸς ἀνδρομέοισιν.
Ε ἷς θεὸς ἀμφοτέρωθεν. ἐπεὶ θεότητι κεραθεὶς,
Κ αὶ βροτὸς ἐκ θεότητος ἄναξ καὶ χριστὸς ὑπέστη.
Κ αινὴ δ' ἔπλετο μίξις, ἐπεὶ προτέρην ἀθέριξα.
Π ρῶτον ἐγὼ πνοιῆς θείης λάχον, ὑστάτιον δὲ
Χ ριστὸς ἐμὴν ψυχήν τε καὶ ἅψεα πάνθ' ὑπέδεκτο.
Κ εῖνον Ἀδὰμ τὸν πρόσθεν ἐλεύθερον, ὃς γυμνὸς ἦεν
Ἀ μπλακίης, πρὶν ὄφιν τε ἰδεῖν, καρπόν τε πάσασθαι,
Κ αὶ θανάτου, θυμὸν δὲ νοήμασιν ἔτρεφεν ἁπλοῖς
Ο ὐρανίοις, μύστης τε θεοῦ, θείων τε φαεινός,
Τ ὸν μὲν ἀναπλάσσων, βροτέην θεὸς ἐς φύσιν ἦλθεν,
Ὥ ς κεν ἀεθλεύσας τε, καὶ ἐκ θανάτοιο φονῆα
Ν ικήσας, γεῦσιν τε χολῇ, καὶ χεῖρας ἀθέσμους
Ἥ λοισι, σταυρῷ τε φυτὸν, καὶ ὕψει γαῖαν,
Π ρὸς ζωὴν παλίνορσον Ἀδὰμ καὶ κῦδος ἀνάξῃ.
Γ έρασι δ' ἁπλώσας ἱερὸν δέμας ὃν, βροτὸν αὐτὸς
Ἐ κ περάτων συνάγειρε, καὶ εἰς ἓν δήσατο φῶτα,
Κ αὶ μεγάλης θεότητος ἐν ἀγκοίνῃσιν ἔθηκεν,
Ἅ ιματι μὲν ἀμνοῖο μολύσματα πάντα καθήρας,
Ο ἴμου δ' οὐρανίης θνητοῖς ἄγος ἔνθεν ἀείρας.
Ὦ ἄνα τίς δέ κε σεῖο νόον καὶ βένθος ἀνεύροι,
Ὃ ς σταγόνων ὑετοῖο, καὶ ὃς ἀλίης ψαμάθοιο
Ο ἶδας ἀριθμὸν ἅπαντα, καὶ ὅσ' ἀνέμοιο κελεύθους;
Τ ίς δέ κεν αὖ γνώσαιτο τεῆς μάκαρ ἴχνια βουλῆς;
Ὑ ψιμέδων, ὃς πάντ' ἐφορᾷς, καὶ πάντα κυβερνᾷς.
Ἀ ιὼν ὅσσα κέκευθεν ἀπείριτος. ἐς δέ σε τείνων
Ν οῦς μερόπων τυτθὸν λεύσσει σέλας, οἷα τάχιστα
Ἀ στεροπὴν φεύγουσαν ἀπ' ἠέρος. ἀλλὰ τό δ' ἔμπης
Ἀ ζεκὲς, ὡς παθέεσσι τεοῖς βροτὸν ἔνθεν ἀείρας.
Ἐ ς βίον ἄλλον ἔθηκας ἐλεύθερον ἀντὶ κακοῖο.
Π ρόσθε μὲν ὠδίνεσκε βίος καὶ κόσμος ἔραζε,
Κ αὶ χθονίων βασιλῆα πολὺς ἀμφίστατο λαὸς,

Οἷς μεγάλου βασιλῆος ἀφήρπασε κερδοσύνῃσι.
Νῦν δ' αὐτῆς κακίης Χριστὸς ἄπο χειρὸς ἐρύσσας,
Ἂψ ἀνάγει πρὸς ἄνακτα μέγαν, καὶ κόσμον ἀρείω.
Κεῖνο γάμος μερόπεσσι· τὸ δ' ἀζυγίη θεοφιλής.
Κόσμος ὁ μὲν, γαίης, ἡ δ' οὐρανίοιο θεοῖο.
Ὡς δ' ἄπνοα πινάκεσσιν ἀνὴρ εἴδωλα χαράσσων,
Βαιοῖς μὲν πρώτιστον, ἀμυδροτέροις τε τύποισιν
Εἶδος ὑποσκιάει πειρώμενος, αὐτὰρ ἔπειτα
Χρώμασι παντοδαποῖσιν ὅλην ἐστήσατο μορφήν,
Ὣς ἄρα παρθενίη Χριστοῦ λάχος αἰὲν ἐόντος,
Πρόσθε μὲν ἐν παύροισι φαείνετο, καὶ σκιόεσσα,
Μέσφ' ὅτε καὶ βασίλευε νόμος χρώμασιν ἀφαυροῖς
Φαινομένοις, κρυπτὸν τ' ὀλίγοις ὑπελάμπετο φέγγος.
Αὐτὰρ ἐπεὶ καὶ Χριστὸς ἁγνῆς διὰ μητρὸς ὁδεύσας
Παρθενικῆς, ἀλέχοιο, θεουδέος, ἀχράντοιο,
Νόσφι γάμου καὶ πατρὸς, ἐπεὶ χρέος ἦε γενέσθαι,
Ἥγνισε θηλυτέρας, Εὔαν δ' ἀπεπέμψατο πικρήν,
Καὶ σαρκὸς ἀπέπεμψε νόμους, μεγάλοις τε λόγοισι
Πνεύματι γράμμ' ὑπόειξε, καὶ ἡ χάρις ἐς μέσον ἦλθεν,
Δὴ τότε παρθενίη στράψεν μερόπεσσι φαεινὴ
Λυομένη κόσμοιο, λύουσά τε κόσμον ἀφαυρόν,
Τοσσάτιον προφέρουσα γάμου, βιότοιό τε δεσμῶν,
Ὁσσάτιον ψυχὴ προφερεστέρη ἔπλετο σαρκὸς,
Καὶ χθονὸς οὐρανὸς εὐρὺς, ὅσον βιότοιο ῥέοντος
Ἑστηὼς μακάρεσσιν, ὅσον θεὸς ἀνδρὸς ἀρείων,
Καὶ χορὸς ἀμφὶ ἄνακτα φαεσφόρον ἴσα τ' ἀμεμφής,
Οὐράνιος γαίηθεν ἐπειγόμενος θεὸς εἶναι,
Χειροφόρος, σταυροῖο λάτρεις, κόσμοιο περίφρων,
Τεθνηὼς χθονίοισιν, ἐπουρανίοισι μεμηλώς.
Λαμπτῆρες κόσμοιο, διαυγέα φωτὸς ἔσοπτρα,
Οἱ θεὸν εἰσορόωσι, καὶ ὢν θεὸς, οἵ τε θεοῖο.
Δεῦρ' ἄγ' ὅσαι πολυεργῆσιν ὁμόφρονες, ἠδὲ γάμοιο
Μύστιδες, ὑψικάρηνα καὶ ὄμματα γοργὰ φέρουσαι,
Καὶ χρυσὸν λιθάκεσσι μεμιγμένον αὐχενέεσσι,
Καὶ μαλακοὺς ἁπαλοῖσι περὶ ῥεθέεσσι χιτῶνας,
Λέξαθ' ὅσα θνητοῖσι γάμος καὶ δεσμὸς ὀπάζει

Quos a magno rege abstulit dolis
Nunc autem grauis malitiæ Christus e manu trahens,
Retro reducit ad regem magnum,& mundum meliorem,
Illud nuptiæ sunt hominibus,hoc uero iniugatio deiformis,
Mundus ille quidem,terræ,hæc uero,cœlestis dei,
Quéadmodũ aũt inspirantia tabellis uir simulachra imprimés,
Paruis quidem primum,obscurioribusq; formis
Speciem adumbrat labora, uerum deinde
Coloribus omnimodis totam statuit formam,
Sic utiq; uirginitas Christi fors semper existentis,
Prius quidem in paucis apparebat,& umbratilis,
Quousq; & regnabat lex coloribus debilibus
Apparentibus,occultumq; paucis subsplendebat lumen
Verum postq̃ & Christus puram per matrem profectus
Virgineã,nõ ligatã,deiformem,immaculatã,
Sine nuptiis & patre,quoniam debitum erat fieri,
Mundauit fœminas,Euam uero extrusit amaram,
Et carnis expulit leges, magnisque sermonibus
Spiritui litera cessit,& gratia in medium uenit,
Tunc igitur uirginitas fulsit hominibus splendida
Soluta a mundo,soluensque mundum imbecillem,
Tantum excedens nuptias,uitæque uincula,
Quantum anima præstantior exstitit carne,
Et terra cœlum latum,quantum uita fluente
Consistens beatis,quantum deus uiro est præstantior,
Et chorus circa regem luciferum stabat inreprehensibilis,
Cœlestis e terra festinans deus esse,
Christigerus,Crucis cultor,mundi despector,
Mortuus terrestribus,supercælestibus curæ existens,
Faces mundi,fulgentia lucis specula
Qui deum inspectant,& quorum est deus,quiq; dei sunt.
Huc age,quæcũque costis concordes,atque nuptiarum
Celebratrices,celsa & lumina cita ferentes
Et aurum lapillis mixtum nobilibus,
Et molles mollia circum membra tunicas,
Dicite quot mortalibus nuptiæ & uinclum præbet

26

ἐν τῇ ἐρήμῳ· εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προ-
φήτης. καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν φαρισαίων. καὶ ἠρώτησαν
αὐτὸν, καὶ εἶπον αὐτῷ, τί οὖν βαπτίζεις. εἰ σὺ οὐκ εἶ ὁ χριστὸς, οὔτε
Ἠλίας, οὔτε ὁ προφήτης; ἀπεκρίθη αὐτοῖς Ἰωάννης λέγων, ἐγὼ βα-
πτίζω ἐν ὕδατι, μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε. αὐτός
ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν, οὗ ἐγὼ οὐκ εἰ-
μὶ ἄξιος, ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. ταῦτα μὲν
ἐν Βηθανίᾳ ἐγένετο, πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων.

Τῇ ἐπαύριον τῶν Φώτων, εἰς τὴν σύναξιν τοῦ Προδρόμου.

Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει, ἴ-
δε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὗτός ἐστι περὶ
οὗ ἐγὼ εἶπον, ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅ-
τι πρῶτός μου ἦν. κἀγὼ οὐκ ᾔδειν αὐτόν. ἀλλ' ἵνα φανερωθῇ τῷ
Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων. καὶ ἐμαρτύ-
ρησεν Ἰωάννης λέγων, ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡς περι-
στερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν. κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ'
ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ
πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων
ἐν πνεύματι ἁγίῳ. κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν
ὁ υἱὸς τοῦ θεοῦ.

Τῇ τετάρτῃ μετὰ τὸ πάσχα, καὶ εἰς τὴν μνήμην
τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου.

Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.
καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει, ἴδε ὁ ἀμνὸς τοῦ
θεοῦ. καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολού-
θησαν τῷ Ἰησοῦ. στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀ-
κολουθοῦντας, λέγει αὐτοῖς, τί ζητεῖτε. οἱ δὲ εἶπον αὐτῷ, ῥαβ-
βί. ὃ λέγεται ἑρμηνευόμενον διδάσκαλε, ποῦ μένεις; λέγει αὐ-
τοῖς, ἔρχεσθε καὶ ἴδετε. ἦλθον δὲ καὶ εἶδον ποῦ μένει. καὶ παρ' αὐ-
τῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην. ὥρα ἦν ὡς δεκάτη. ἦν Ἀνδρέας ὁ
ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ
Ἰωάννου,

ζήτει τὸ λοιπὸν ἐν τῷ μέσῳ τοῦ ἐφεξῆς τετραδίου.

in deserto, dirigite uiam domini sicut dixit isaias prophe-ta. Et qui missi fuerant erant ex pharisæis. Et interrogauerunt eum, & dixerunt ei, Quid ergo baptizas si tu non es xp̄us, neq; helias, neq; propheta? Respondit ei Ioannes dicens, Ego baptizo in aqua, medius autē uestrū stetit quem uos nescitis. Ipse est q post me uenturus est, qui ante me factus ē, cuius ego nō sū dignus ut soluam eius corigiā calciamenti. Hæc in bethania facta sunt trans iordanē, ubi erat ioānes baptizās.

Crastina die luminum in aduentum præcursoris

Altera die uidit ioannes Iesum uenient ad se, & ait, Ecce agnus dei, ecce qui tollit peccata mundi. Hic est de quo dixi. Post me uenit uir, qui ante me factus est, qui a prior me erat, & ego nesciebam eum. Sed ut manifestetur in israel, propterea ueni ego i aqua baptizās. Et testimoniū peribuit ioannes dicens, Quia uidi spiritum descendentē quasi colūbam de cælo, & mansit super eum & ego nesciebam eum, sed qui misit me baptizare in aqua, ille mihi dixit, Sup quē uideris sp̄m descendentē, & manentem super eum, hic est qui baptizat in spiritu sancto. Et ego uidi & testimoniū perhibui. quia hic est filius dei.

Quarta die post pascha. In memoriam
Sancti Apostoli Andreæ.

Altera die iterum stabat ioannes, & ex discipulis eius duo. Et respiciens Iesum ambulantem dixit. Ecce agnus dei & audierunt eum duo discipuli loquentem, & secuti sunt iesum. Conuersus autem iesus & uidens eos sequentes se, dicit eis. Quid quæritis? Qui dixerunt ei. Rabbi quod dicitur interpretatum magister ubi habitas? Dicit eis. Venite & uidete, Venerunt & uiderūt ubi maneret & apud eum mãserūt die illo. Hora aūt erat q̄si decia. Erat aūt Andreas fratris simonis petri unus ex duobus, qui audierat a Ioanne

Quære reliquum in medio sequentis quaternionis.

27

Lucra,& postea uocabimus iniugatam sortem.
H æ igitur dicent uolubiliter inflatæ,
A udite iam cari filii connubii terrestrium regis,
N os quibus curæ est connubium & uincula uitæ,
Quam filius immortalis patris statuit legem
H umanæ sobolis,& sanguinis nostri,
E x eo adhuc,cum primum adam costæ deuinxit,
Fructum ab homine esse mortalem,ex prole autem
Quamuis mortalem existentem,manere pullulantem filiis.
H anc legem colentes,iugationemque amabilem
I nuicem congressæ sumus,quoniam e puluere genitæ sumus.
P ulueris legem atque dei antiquissimam complexæ.
E t enim naturæ qdem quæcũque sortitæ sunt cœlum latum
Iniugatæ,passionibusque & difficilibus curis
S uperiores,mortalibus aũt nuptiæ & uinculũ adiumentũ est
V trunque, ramorumque carorum, fructuumque amabilium.
R adixque,& uitæ mellitæ bonum firmamentum
P rimum deus omnium genitor & propitiare Christe
T uis legibus puris plusq̃ antea.
I n hoc est uinculum amoris,quoniam & terra & æther
E t pontus filiis nuptiarum donis germinauit.
S i autem uerum est palmis desyderii lex celsicomis
M ixtas fœminamque & marem ueris tempore
R amicomorum manibus pululare racemiformẽ fructum.
S i uero & ex duitate lapillorum lapis in unum coeunte
G ignitur,ut aiunt lapidum periti uiri,
E st & inanimatis connubium & uinculum amoris.
S ed quid mihi externorum cupido est uerborũ & desyderiorũ,
A spice quæ hominibus nuptiæ præbuere prudentes.
Quis sapientiam docuit caram? & profunda adinuenit?
Quæcũque terra, quæcũque mare cœlum intra continet?
Quis ciuitatibus posuit leges? & ante has
Quis urbes erexit? & adinuenit consiliis artes?
Quis impleuit fora & domicilia? & quis certamina?
Quis exercitum in bellis? & in conuiuiis mensas?
Quis chorum celebratorem redolenti struxit templo?

Κέρδεα, καὶ μετέπειτα καλέσσαμεν ἄζυγα μοίρην.
Αἱ μὲν γὰρ ἐρέουσιν ἐπίζυγα φυσιόωσαι,
Κέκλυτε δὴ φίλα τέκνα γάμου χθονίων βασιλῆος,
Ἡμεῖς, ἧσι μέμηλε γάμος καὶ δεσμὰ βίοιο,
Ὃν παῖς ἀθανάτοιο πατρὸς ἐστήσατο θεσμὸν
Ἀνδρομένης γενεῆς, καὶ αἵματος ἡμετέροιο,
Ἐξέτι τοῦ, ὅτε πρῶτον Ἀδὰμ πλευρῇ συνέδησε,
Κάρτερον ἀπ' ἀνθρώποιο πέλειν βροτόν. ἐκ δὲ γόνοιο,
Καίπερ θνητὸν ἐόντα, μένειν σταχύοντα τέκεσσιν.
Τόνδε νόμον τίουσαι, ὁμοζυγίην τ' ἐρατεινὴν,
Ἀλλήλαις συνέβημεν, ἐπεὶ χοὸς ἐκγενόμεσθα,
Χοῦ νόμον ἠδὲ θεοῖο παλαίτατον ἀμφιέπουσαι.
Καὶ γὰρ δὴ φύσιες μὲν ὅσαι λάχον οὐρανὸν εὐρὺν
Ἀζυγέες, παθέων τε καὶ ἀργαλέων μελεδώνων
Κρείσσονες. ἡμετέροις δὲ γάμος καὶ δεσμὸς ὄνειαρ.
Ἀμφοτέρων, πτόρθων τε φίλων, καρπῶν τ' ἐρατεινῶν,
Ῥίζα τε, καὶ βιότοιο μελίφρονος ἐσθλὸν ἔρεισμα,
Γρῶτα θεὸς πάντων γενέτης. καὶ ἵλαθι χριστὲ
Σεῖο νόμοις καθαροῖσι πρότερον ἢ τὸ πάροιθεν.
Τῷ δ' ἔπι δεσμὸς ἔρωτος, ἐπεὶ καὶ γαῖα καὶ αἰθὴρ
Καὶ πόντος τεκέεσσι γάμου δώροισι τέθηλεν.
Εἰ δ' ἐτεὸν φοίνιξι πόθου νόμος ὑψικόμοισι
Πιγνυμένους θήλεσσί τε καὶ ἄρσενα εἴαρος ὥρῃ
Ἐρνοκόμων παλάμῃσι βρύειν βοτρυώδεα καρπὸν,
Εἰ δὲ καὶ ἐκ δυάδος λιθακῶν λίθος εἰς ἓν ἰούσης
Τίκτεται, ὡς ἐνέπουσι λίθων ἐπιίστορες ἄνδρες,
Ἔστι καὶ ἀψύχοισι γάμος καὶ δεσμὸς ἔρωτος.
Ἀλλὰ τί μοι ξείνων φιλότης μύθων τε πόθων τε,
Δέρκεο τὰ, μερόπεσσι γάμος φέρεσιν ἐχέφρων.
Τίς σοφίην ἐδίδαξε φίλην, καὶ βένθε' ἀνεῦρεν,
Ὅσα χθὼν, ὅσα πόντος, ὅσ' οὐρανὸς ἐντὸς ἐέργει;
Τίς πτολίεσσιν ἔθηκε νόμους, καὶ τῶνδε πάροιθεν
Τίς πτόλιας δ' ἀνέγειρε, καὶ ηὕρετο μήδεσι τέχνας;
Τίς πλῆσεν ἀγορὰς τε καὶ δώματα, καὶ τίς ἀγῶνας;
Τίς στρατὸν ἐν πολέμοισι, καὶ εἰλαπίνῃσι τραπέζας;
Τίς χορὸν ὑμνητῆρα θυώδει πήξατο νηῷ;

Τ ίς θηρῶν κατέλυσε βίον, καὶ γαῖαν ἀρόσσεν,
Κ αὶ φυτοεργείην ἐδιδάξατο, καὶ πελάγεσσι
Ν ῆ' ἐπαφῆκε μέλαιναν ἐπειγομένην ἀνέμοισι;
Τ ίς γαῖαν τε πόντον ὑγρῇ συνέδησε κελεύθῳ
Ν όσφι γάμου; τὰ δὲ πολλὸν ἀπόπροθεν εἰς ἓν ἄγειρε;
Κ αὶ τὰ μὲν ἔνθαδε, τοῖα. τὰ δ' ὑψόθι, πολλὸν ἀρείω.
Ἀ λλήλοισι χέρες τε καὶ οὔατα καὶ πόδες ἐσμὲν
Σ υζυγίῃ, διπλοῦν δὲ γάμος καὶ ἄναλκιν ἔθηκε,
Χ άρμα μέγ' εὐμενέεσσιν, ἄχος δέ τε δυσμενέεσσι.
Ξ υναὶ καὶ μελεδῶναι ἐλαφρίζουσιν ἀνίας.
Ξ υναὶ δ' εὐφροσύναι γλυκερώτεραι ἀμφοτέροισι.
Τ ερπνότερος μὲν πλοῦτος ὁμοφρονέουσι τέτυκται.
Τ ερπνοτέρη πλούτοιο δ' ὁμοφροσύνη χατέουσι.
Κ ληῖς δ' ἀμφοτέροισι σαοφροσύνης τε πόθων τε
Σ υζυγίη, καὶ σφρηγὶς ἀναγκαίης φιλότητος.
Ε ἷς πῶλος φιλίης σκιρτήμασι θυμὸν ἰαίνων.
Ἓ ν ποτὸν οἰκιδίης πηγῆς ξείνοισιν ἄγευστον,
Ο ὔτ' ἐκτὸς προρέον, οὔτ' ἔκτοθεν ἄλλον ἀγεῖρον.
Σ υμφυέες σάρκεσσιν ὁμόφρονες, εὐσεβίης τε
Κ έντρον ἐν ἀλλήλοισι πόθῳ θήγοντες ὅμοιον.
Ο ὐ δὲ γὰρ οὐδὲ θεοῖο γάμος ἀπάνευθε τίθησιν.
Ἀ λλ' ἔχεται μᾶλλόν τις, ἐπεὶ καὶ μᾶλλον ἐπείγει.
Ὠ ς δ' ὀλίγην μὲν νῆα μικρὸς προΐησιν ἀήτης
Λ αίψεσι πεπταμένοισι δι' οἴδματος ὦκα θέουσαν,
Ἠ ὲ χέρες πέμπουσιν ἐπειγομένην ὑπ' ἐρετμοῖς,
Π ολλὴν δ' οὐκ ὀλίγη πνοιὴ φέρει, ἀλλὰ βαρεῖαν
Π όντου ἐπερχομένην στερεώτερος οὖρος ἐπείγει,
Ὥ ς ῥα καὶ ἀζυγέες μὲν ἐπεὶ ζώουσιν ἐλαφροί,
Κ ουφοτέρης μεγάλοιο θεοῦ χατέουσιν ἀρωγῆς.
Ὃ ς δ' ἀλόχου τε φίλης καὶ κτήσιος ἀμφιβέβηκε,
Κ αὶ τεκέων, τέμνει δὲ πολὺ μέγα λαῖτμα βίοιο
Χ ρειοῖ πλειοτέρῃ, πλεῖον θεὸν ἀμφαγαπάζει.
Τ οῖα γάμος. πικρὸς δὲ βίος φιλότητος ἄνευθε,
Ν ηλής, ἀπροτίοπτος, ἀνέστιος, οὔρεσι φοίτης.
Ο ὐκ ἄλκαρ παθέων, οὐ γήραος ἀδρανέοντος
Φ άρμακον, ἠ βαύσκοντος ἑοῖς τεκέεσσι τοκῆος,

Quis ferarum soluit uitam, & terram arare
E t plantarum opus edocuit, & maribus
N auem immisit nigram festinan tem uentis?
Quis terram & pontum humenti conuinxit itinere
S ine nuptiis? longe aũt a se remota in unum conduxit?
E t quæ hic sunt, huiusmõi sũt, q̃ uero ĩ excelso, multo p̃stãtiora
I nuicem manusq; & aures & pedes sumus
I ugatione, duplices autem nuptiæ etiam debilem effecere.
G audium magnum beneuolis, dolorem autem hostibus,
C ommunes etiam curæ leuant mœrores,
C ommunes autem lætitiæ dulciores utrisq;,
I ucundiores q̃dem diuitiæ concordibus effectæ sunt,
I ucundior autem diuitiis concordia carentibus,
C lauis aũt utrisq; temperantiæq; cupiditatumq;
C oniugatio, & sigillum necessarii amoris,
V nus pullus amicitiæ saltibus animum oblectans,
V na potio domestici fontis alienis ingustata,
N eq; exterius p̃fluens, neq; extrinsecus alium congregans,
C ognati carnibus concordes, pietatisque
A culeum interse desiderio acuentes similem,
N eq; enim a deo nuptiæ seorsum ponunt.
S ed continet magis quis, quoniam & magis urget
Quéadmodum aũt paruam q̃dé nauem paruus emittit flatus
V elis apertis per undam celeriter curren tem,
V el manus mittunt acceleratam a remis,
M agnam autem non parua spiratio fert, sed grauem
M are ineuntem ualidior uentus urget,
S ic certe & iniugari quidẽ quoniam uiuunt leues
L euiori magni dei indigent auxilio,
Qui autem & uxorem caram & facultatem iniit,
E t filios, secat autem longe magnã undam uitæ
V su maiori, plus deum complectitur,
Hæc nuptiæ, uidua autem uita amore sine,
I mmitis, improuida, sine penatibus, montiuaga,
N on medicinam affectuum, nõ senectutis infirmæ
R emedium, pubescentes suis filiis parentes,

N on compositio uitæ mellitæ, non foris
D electantur, non conuiuiis, sine risu extra mundum,
Qu i e uita nati sunt, & non amant uitæ
R adices, non hominibus concordem animum habent.
S i uero uirtutem desyderans quis sperauit amorem,
N eq; uirtus amoris est sine, non quod solum
O mnibus antea connubium carum fuit piis,
S ed quod & amoris benigni sunt soboles,
E t Christi passionum gnari, atq; professores,
P atriarchæ, Sacerdotes, munerigeri, reges
O mnigenis uirtutibus ornati, non enim produxit
T erra bonos, quẽadmodum aiunt celsas gentes gigantum,
S ed nuptiarum sunt soboles & gloria omnes,
Quis deum hominibus summe dominantem ostendisset
Quãuis longe existentibus, mentem autem impleſset amoris
D iu nioris, & inde abduxisset in uitam aliam,
Quis animas expurgauit totis hominibus splendidis?
Fides Enoch transposuit uero ex aquis seruauit
M undum totum animabus paucis & seminibus natantibus
N oe magnus, A braam uero pater urbiumq; & gentium,
E t uictimam Christo ad aram filium uinciens.
M oses duxit populum ab ægypto graui
M iraculis cum magnis, legem autem excepit tabulis
E xalto lapideis, deum autem inspexit ex aduerso.
F idus inter priores sacerdos erat A aron.
L unæ autem soliq; cursum tenuit bonus iesus
L ongiorem, hostibus cedem; & dolores struens.
E t tu beate unctis ferens cornu sancte Samuel.
D auid inter reges celebris erat omnes,
E t Solomon sapientiæ prima gloria, neq; prophetarum
O bliuiscar. E liam uero in cœlum rapuit currus,
Quis autẽ legis medium & spiritus non est admiratus
L ucis I oannem, magnisonum precursorem summæ?
Quis uero duodecimam inclytorum postea discipulorum?
Quis pauli robur magnanimi cœliuagi,
A liosque qui geniti sunt, & qui nunc sunt optimi?

Οὐ πτύξεις βιότοιο μελίφρονος. οὐκ ἀγορῇσι
Τέρπον τ᾽, οὐ θαλίῃσιν, ἀμεμφέες ἔκτοθι κόσμου.
Οἱ βιότου γεγάασι, καὶ οὐ στέργουσι βίοιο
Ῥίζας, οὐ μερόπεσσιν ὁμόφρονα θυμὸν ἔχουσιν.
Εἰ δ᾽ ἀρετὴν ποθέων τὶς ἀτιμάζει φιλότητα,
Οὐδ᾽ ἀρετὴ φιλότητος ἀπόπροθεν, οὐχ ὅτι μοῦνον
Πάντεσσι τὸ πάροιθε γάμος φίλον εὐσεβέεσσιν,
Ἀλλ᾽ ὅτι καὶ φιλότητος ἐνηέος εἰσὶ γενέθλη,
Καὶ Χριστοῦ παθέων ἐπιίστορες, ἠδ᾽ ὑποφῆται,
Πατριάρχαι, ἱερῆες, ἀεθλοφόροι βασιλῆες,
Παντοίαις ἀρετῇσι κεκασμένοι. οὐ γὰρ ἀνέχει
Χθὼν ἀγαθούς, ὥς φασι πελώρια φῦλα γιγάντων,
Ἀλλὰ γάμου τελέθουσι γόνος καὶ κῦδος ἁπάντων.
Τὶς θεὸν ἀνθρώποισι μέγα κρατέον θ᾽ ὑπέδειξε
Καὶ πατέρα τηλόθ᾽ ἐοῦσι, νόον δ᾽ ἔπλησεν ἔρωτος
Θειοτέρου, καὶ ἔνθεν ἀπήγαγεν ἐς βίον ἄλλον;
Τὶς ψυχὰς ἐκάθηρεν ὅλοις μερόπεσσι φαεινοῖς;
Γίσις Ἐνὼχ μετέθηκεν. ὁ δ᾽ ἐξ ὑδάτων ἐσάωσε
Κόσμον ὅλον ψυχαῖς ὀλίγαις καὶ σπέρμασι πλωτοῖς
Νῶε μέγας. Ἀβραὰμ δὲ πατὴρ πτολίων τε καὶ ἐθνῶν,
Καὶ θυσίην Χριστοῦ προβάλμιον υἷα πεδήσας.
Μωσῆς ἤγαγε λαὸν ἀπ᾽ Αἰγύπτοιο βαρείης
Θαύμασι σὺν μεγάλοισι, νόμον δ᾽ ὑπεδέξατο πλαξὶν
Ὑψόθε λαϊνέῃσι, θεὸν δ᾽ εἰσέδρακεν αὐτήν.
Πιστὸς ἐνὶ προτέροισι θυηπόλος ἔσκεν Ἀαρών.
Μήνῃ δ᾽ ἠελίῳ τε δρόμον σχέθεν ἠὺς Ἰησοῦς
Μακρότερον, δηΐοισι φόνον καὶ κήδεα τεύχων.
Καὶ σὺ μάκαρ Χριστοῖσι φέρων κέρας ἁγνὲ Σαμουήλ.
Δαυὶδ ἐν βασιλεῦσιν ἀοίδιμος ἦεν ἅπασι,
Καὶ Σολομὼν σοφίης πρῶτον κλέος. οὐδὲ προφητῶν
Λήσομαι. Ἠλίαν δὲ πρὸς οὐρανὸν ἥρπασεν ἅρμα.
Τὶς δὲ νόμοιο μέσον καὶ πνεύματος οὐχὶ τέθηπε
Φωτὸς Ἰωάννην ἐριηχέα πρόδρομον ἄκρου;
Τὶς δὲ δυωδεκάδα κλεινῶν μετέπειτα μαθητῶν;
Τὶς Παύλοιο μένος μεγαλήτορος οὐρανοφοίτου;
Ἄλλοις θ᾽ οἳ γεγάασι, καὶ οἳ νῦν εἰσὶν ἄριστοι;

Ἕρμα λόγου, κόσμου τε κλέος, λαοῦ τε θέμεθλα.
Τοὺς πάντας μερόπεσσι γάμος καὶ Χριστὸς ἔδωκεν.
Οὐδὲ μὲν οὐδὲ γυναῖκες ἐπ' εὐσεβίῃ κομόωσαι,
Ὧν μέγας ἐν βίβλοισι θεοπνεύστοισιν ἀριθμός,
Νόσφι γάμου καὶ σαρκὸς ἐϋκλείης ἐπέβησαν.
Εἴπω μείζονα μῦθον ἐμὴν τίων φιλότητα.
Καὶ Χριστὸς καθαροῖς μὲν, ἀτὰρ σπλάγχνοισιν ἐμίχθη
Ἀνδρομέοις, μνηστῆς δὲ διωλίσθησε γυναικός,
Ἥμισυ συζυγίης μίξας βροτέης θεότητι.
Ἓν δ' ὧδε πᾶσι μέγιστον ἐμὸν κράτος, ἣν κρατέωσιν
Ἄζυγες, καὶ οἱ γὰρ ἐμὸν γένος, ὥσπερ ἅπαντες.
Οὐδὲ γὰρ οὐδ' ἀγάμων γεγαμηκότες, ἐκ δὲ γάμοιο
Ἄζυγες, τεκέεσσιν ἀνώγομεν, ἴσχετ' ἀγῶνα.
Εἰ καὶ μὴ πατέρες, πατέρων γε μὲν ἐξεγένεσθε.
Τοῖα γάμος. μετέπειτα κατηφιόωσα προῆλθε
Ἐν τρυχίνοισι ῥακέεσσι, καὶ ἅψεσιν ἀδρανέουσι,
Νήλιπος, αὐαλέη τε, κατὰ χθονὸς ὄμματ' ἔχουσα
Παρθενίη, τυτθὸν δὲ διαστέλλουσα ἣν αἰδοῖ
Χείλεα, φοινίσσουσα παρήϊον αἵματι σεμνῷ,
Ἀκ κεφαλῆς βρύουσα σιγῇ κρυπτοῖο καλύπτρῃ.
Τὴν δ' ἄρα παρπεπίθοιμι ἐγὼ τοίοις δ' ἐπέεσσιν.
Ὦ τέκος οὐρανίοιο, καὶ ἔνδοθι κυδήεσσα,
Ὦ μεγάλοισι χοροῖσι παρισταμένη μεδέοντος
Ὑμνοπόλοις, εἰ καί σε δέμας καὶ γαῖα κατίσχει,
Δεῦρ' ἴθι, καὶ φάθι μῦθον. ἐγὼ δὲ σέο προπάροιθεν
Στήσομαι. ἦ γὰρ ἔμοιγε θεόσδοτος ἤλθες ἄνασσα.
Ἤλυθες. ἀλλ' ἔτι μᾶλλον ἔοις, καὶ ἵλαος εἴης.
Τίς με καὶ οὐκ ἐθέλουσαν ἄγει πρὸς τόνδε θόωκον;
Τίς δ' ὕβροις μεμαυῖαν ἐμὸν θεὸν ἀζεμένη τε
Τίειν, ἠματίοις τε πόνοις, νυχίοισι τ' ἀοιδαῖς,
Καὶ δακρύων πηγῇσι, καὶ εὐαγέεσσι καθαρμοῖς
Εἰς δῆριν καλέειν κενεὴν, καὶ νείκεα μύθων;
Μέχρι τίνος ψεύστῃσι καὶ ἠματίοισιν ὀνείροις
Παιζόμενοι, παίζοντες, ἐπὶ χθονὶ μὰψ ἀλάλησθε.
Ἄθρει δὴ μετὰ παίδεσσι τεαῖς ἔπι πάντας ὀλλύων
Ὣς καὶ ἐγὼ, δὴ γάρ με θεὸς μέγαν ἴδριν ἔθηκεν
Ἐσθλῶν τε στυγερῶν τε, νόος δ' ἐπὶ πάντα φορεῖται.
Οὗτος ἔην θαλερός τε καὶ ἄλκιμος, ἔξοχος ἑταίρων,
Ὑψιβιβὰς, μελέεσσιν ἐειζώοισι τεθηλώς.
Οὗτος κάλλιμος ἦεν ἑωσφόρος, ὄμματα πάντων
Ἕλκων, εἴαρος ἄνθος ἐν ἀνδράσιν. οὗτος ἀγῶσι
Κύδιμος. ἔντεσιν οὗτος ἀρήϊος. οὗτος ἄριστος
Θηροφόνων σταδίοισι, καὶ οὔρεσι καρτερὸς ἐτείρων.
Οὗτος δ' αὖ θαλίῃσι καὶ εἰλαπίνῃσι μεμηλὼς,
Γαίῃ καὶ πελάγεσσι καὶ ἠέρι γαστέρα φέρβων,
Νῦν ῥικνὸς, καὶ ἄναλκις. ἀπήνθησεν γὰρ ἅπαντα.
Γῆρας ἔβη. τὸ δὲ κάλλος ἀπέπτατο. νεκρὰ τὰ γαστρός.
Βαιὸν ἔτ' ἐν μερόπεσσι. τὸ δὲ πλέον, εἰν ἀΐδαο.
Οὗτος δ' αὖ μύθοις πνείων μέγα παντοδαποῖσιν.
Οὗτος δ' εὐγενέτης τύμβοις φονέων μεγάλοισιν,
Ἠ δέλτοις ὀλίγῃσι νεόγραφον αἷμα λελογχώς.
Οὗτος καρτερόμητις, ἐνὶ πτολίεσσι μέγιστος,
Γανδήμοις στομάτεσσι βοώμενος. οὗτος ἄμετρον
Πλοῦτον, τὸν μὲν, ἔχων, τὸν δὲ, φρεσὶν ἔνδον ἀέξων.
Οὗτος δ' ὑψιθρόνοιο δίκης πλάστιγξι γέγηθεν.
Οὗτος δ' αἱματόεντι ῥάκει, δεσμῷ τε καρήνου
Γαίης κάρτος ἔχων, καὶ οὐρανὸν αὐτὸν ἀτίζει,
Θνητὸς, ἐν οὐ θνητοῖσι μετήορος ἐλπωρῇσι.
Νῦν τάδε. μικρὸν ἔπειτα κόνις. καὶ πάντες ὁμοῖοι,
Δμῶες, σκηπτοφόροι, θῆτες, πλούτῳ κομόωντες.
Εἷς ζόφος. εἷς δὲ δόμος. τόσον πλέον ὀφρυόεσσιν,
Ὅσσον κλεινοτέροιο γόου, τύμβου τετυχῆσθαι,
Οὔνομά τ' ἐν λάεσσι λιπεῖν ἐπικήδειον οἰκτροῖς.
Ὀψὲ μὲν, ἔμπα δὲ πᾶσιν ἴσον θνητοῖσι τάλαντον.

Vel alicuius aeriæ speculæ desuper eleuatus,
T onabundum omnibus hominibus inclamē.
H omines mortales, fluxus genus, nihil existentes,
Qui morti uiuentes, inania inflamus,
Quousq; mendacibus & diariis somniis
D elusi, ludentes, in terra temere erratis,
A spice uero mentibus tuis in omnes profectus
Quēadmodum ego, iam enim me deus magnū scientē effecit.
B onorúque odiosorumq;, mens autem ad omnia fertur
H ic erat, uiridisq; & fortis, gloria sociorum,
C elsiuadens, membris uiuacibus germinans,
H ic pulcher erat lucifer, oculos omnium
T rahens, ueris flos in uiris, Hic certaminibus
G loriosus armis hic martius. hic optimus
F ericidarum stadiis. & montibus robur excitans.
H ic uero rursus conuiuiis & epulis curam im pendens.
T erra & pelagis & aere uentrem nutriens,
N unc curuus & infirmus, defloruere enim omnia.
S enectus uenit. pulchritudo aūt euolauit, mortuæ res uentris
P arum adhuc inter homines, plus autem in inferno.
H ic uero rursus uerbis spirans magnum omnimodis.
H ic autem nobilis sepulchris superbiens magnis.
A ut pugillaribus paruis nuper scriptū sanguinē sortitus.
H ic ualidus consultor, in bellis maximus,
V niuersis oribus celebratus. hic immensas
D iuitias, has quidem habens. has uero. mētibus ītus cumulās,
H ic celsisedis iustitiæ examinibus delectatur.
H ic uero sanguinolenta lacerna. uinculoque colli
T erræ robur habens. cœlum ipsum uilipendit.
Mortalis, in non mortalibus sublimis sp. bus.
N unc hæc. paulopost puluis & omnes similes.
S erui. Sceptriferi, pauperes, diuitiis superbientes.
V næ tenebræ. una uero domus. tanto plus superciliosis,
Quanto celebriorem luctum, sepulchrumq; sortiri,
N omenq; in saxis relinquere funereum miserandis.
S ero quidem. Tamen uero omnibus æqua mortalibus lanx

77

σημεῖα αὐτοῦ ἃ ἐποίει. αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευσεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν πάντα. καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου, αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ.

Τῇ πέμπτῃ μετὰ τὸ πάσχα περὶ Νικοδήμου.

Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων Νικόδημος ὄνομα αὐτῷ ἄρχων τῶν Ἰουδαίων. οὗτος ἦλθε πρὸς αὐτὸν νυκτὸς, καὶ εἶπεν αὐτῷ, ῥαββὶ, οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν, ἃ σὺ ποιεῖς, ἐὰν μὴ ἦ ὁ θεὸς μετ᾽ αὐτοῦ. ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, ἀμὴν ἀμὴν λέγω σοι. ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. λέγει πρὸς αὐτὸν ὁ Νικόδημος· πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν μή; δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆναι; ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ, ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος, καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ· τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι· μὴ θαυμάσεις ὅτι εἶπόν σοι, δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις. ἀλλ᾽ οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει. οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος· ἀπεκρίθη Νικόδημος, καὶ εἶπεν αὐτῷ, πῶς δύναται ταῦτα γενέσθαι, ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις, ἀμὴν ἀμὴν λέγω σοι. ὅτι οἴδαμεν, λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσετε.

Τῇ πρὸ τῆς ὑψώσεως κυριακῇ.

Καὶ οὐδεὶς ἀνέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ, καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ, τὸν υἱὸν τοῦ ἀνθρώπου. ἵνα πᾶς

ζήτει τὸ λοιπὸν ἐν τῷ μέσῳ τοῦ ἑξῆς τετραδίου.

signa eius, quæ faciebat. Ipse autem Iesus nõ credebat semetipsũ eis, eo q̃ ipse nosset omnes, & quia opus ei non erat, ut quis testimoniũ phiberet de homine. Ipse eni sciebat qd eẽt in homine.

Quinta post pasca. De Nicodemo.

Erat autem homo ex phariseis Nicodemus nomine princeps iudæorum. Hic uenit ad Iesum nocte & dixit ei, Rabbi scimus quia a deo uenisti magister. Nemo enim potest hæc signa facere, quæ tu facis, nisi fuerit deus cum eo. Respondit Iesus & dixit ei, Amen amen dico tibi, nisi quis renatus fuerit denuo non potest introire in regnum dei. Dicit ad eum Nicodemus, quomodo potest homo nasci cum sit senex. Nunquid potest in uentrem matris suæ iterato introire & renasci? Respondit Iesus. & dixit ei. Amen amen dico tibi, nisi quis renatus fuerit ex aqua, & spiritu sancto non potest introire in regnum dei. Quod natum est ex carne caro est, & quod natum est ex spiritu spiritus est. Non mireris quia dixi tibi, oportet uos nasci denuo. Spiritus ubi uult spirat, & uocem eius audis, sed nescis unde ueniat, aut quo uadat, Sic est omnis qui natus est ex spiritu. Respondit Nicodemus & dixit ei. Quomodo possunt hæc fieri? Respondit iesus & dixit ei, Tu es magister in israel & hæc ignoras? Amẽ amẽ dico tibi, qa qđ scim⁹ loqmur. & quod uidimus testamur, & testimonium nostrum non accipitis. Si terrena dixi uobis & non creditis, quomodo si dixero uobis cælestia credetis?

Dominica ante exaltationem

Et nemo ascendit in cœlum nisi qui descendit de cœlo, filius hominis, qui est in cœlo. Et sicut Moyses exaltauit serpentem in deserto, ita exaltari oportet filium hominis, ut oĩs

Quære reliquum in medio sequentis quaternionis.

Ossa omnes debilia, hiantia, nuda capita.
D esiit superbia. paupertatẽ aũt labor liqt, morbus ĩprouidus,
I nimicitiæ, peruersitas. plurium cupido, libido indomita.
O mnia interiere mortuis simul, & omnia clausa sunt.
Quousq; expergefactis cõmercata hinc uenerint.
H æc igitur inspicientes, meis parete uerbis
F ilii mei filii enim, quantum plurem traxi spiritum.
H uc age mundum omnem, & quæcũq; hic errant,
P roiicientes uitia terrestri regis.
R aptoris alienorum, læsoris, homicidæ,
D iuitias, gloriam, sedes, genus, opes infidas.
P rompte fugiamus in cœlum, ubiq; multæ
P ulchritudines splẽdentes lumen circa trinum ĩconsyderabile,
A lii uero tesseris similes hinc & inde
C adant, tesserarumq; uolutationibus oblectamentũ habeant.
V el obscuram tenebrositatem suis obiectam habentes oculis,
M uros attrectantes, in se ipsos eant.

LAMENTATIO SVORVM LABORũ, ET AD CHRISTVM ROGATIO DE SOLVTIONE IPSIVS VITAE.

T Erra cara, & ponte, patriæ solum, alienæq;,
Et iuuentus, canusq; uitæ occa sus, & pennata
Verba, labor supuacue, & quos peperit spiritus illustris,
E t urbes, scopuliq; meum tegmentum, quos per omnes
I ui cupiens Christi diuinitati propinquare,
Quomodo solus asperam iui uiam hinc & inde,
V oluens difficilis uitæ figuram, neque potui,
N eq; quantum olim leue in terra uestigium figere,
S ed semper me laboribus labores mittunt malis,
O sapientia, tu doce unde tantum onus mihi sane.
Quo pacto labor piis, & non labor pereuntibus.
N um aliqua erroris pœna hæc sunt? num uitæ
C arbones ut auri purgati fornacibus?
Num me rabidus & inuidus uelut aliquem Iob
I n contentionem uocat? tu uero unguento tuũ me luctato rem
Terẽs, cum antea magnum nudas ad certamen,

Ὀστέα πάντως ἀμαυρά, σεσηρότα, γυμνὰ καρήνων.
Λῆξε τῦφος. πενίην δὲ μόγος λίπε, νοῦσος ἄϊστος,
Ἔχθος, ἀτασθαλίη, πλεόνων πόθος, ὕβρις ἀπειρής.
Πάντ' ἔθανε φθιμένοισιν ὁμοῦ, καὶ πάντα μέμυκεν,
Ἄχρις ἂν ἐγρομένοισι συνέμπορα ἔνθεν ἵκηται.
Ταῦτ' οὖν εἰσορόωντες, ἐμοῖς πείθεσθ' ἐπέεσσι
Γαῖδες ἐμοί. παίδεσσι γὰρ, ὅσσον πλέον εἴρυσα πνεῦμα.
Δεῦρ' ἄγε κόσμον ἅπαντα, καὶ ὁππόσα τῇδ' ἀλάληται,
Ῥίψαντες κακότητας ἐπιχθονίου βασιλῆος,
Ἅρπαγος ἀλλοτρίων, δειλήμονος, ἀνδροφόνοιο,
Πλοῦτον, εὐκλείην, θώκους, γένος, ὄλβον ἄπιστον,
Προζοπάδην φεύγωμεν ἐς οὐρανὸν, ἧχί τε πολλὰ
Κάλλεα μαρμαίροντα φάος περὶ τειρὸν ἄφαστον.
Οἱ δ' ἄλλοι πεσσοῖσιν ἐοικότες ἔνθα καὶ ἔνθα
Γίπτοιεν, πεσσῶν τε κυλίσμασι τέρψιν ἔχοιεν.
Ἢ δνοφερὴν σκοτόμαιναν ἑοῖς ἐπικείμενοι ὄσσοις·
Τοίχους ἀμφαφόωντες, ἐπ' ἀλλήλοισιν ἴοιεν.

ΘΡΗ͂ΝΟΣ ΔΙᾺ ΤΩ͂Ν ΑὙΤΟΥ͂ ΜΌΓΩΝ, ΚΑῚ ΠΡῸΣ ΧΡΙΣΤῸΝ ΔΕΉΣΙΣ ΠΕΡῚ ΛΎΣΕΩΣ ΤΟΥ͂ ΑὙΤΟΥ͂ ΒΊΟΥ.

γ Αῖα φίλη, καὶ πόντε, πάτρης πέδον, ἀλλοδαπῆς τε,
Καὶ νεότης, πολιή τε, βίου δύσι, καὶ προρόοντες
Μῦθοι, μόχθε πολλαστὲ, καὶ οὓς τέκε πνεῦμα φαεινόν,
Καὶ πτόλιες, σκόπελοί τε ἐμὸν σκέπας, ὧν διὰ πάντων
Ἤλυθον, ἰχανόων Χριστοῦ θεότητι πελάσσαι,
Πῶς μοῦνος ζηχεῖαν ἔβην ὁδὸν ἔνθα καὶ ἔνθα,
Σζωφῶν ἀργαλέοιο βίου τύπον. οὐδ' ἐδυνάσθην
Οὐδ' ὅσσον ἔναρτ' ἐλαφρὸν ὑπὲρ χθονὸς ἴχνος ἐρεῖσαι,
Ἀλλ' αἰεί με μόγοισι μόγοι πέμπουσι κακοῖσιν.
Ὦ σοφίη, σὺ δίδαξον ὅθεν τόσον ἄχθος ἔμοιγε.
Γῶς μόγος εὐσεβέεσσι, καὶ οὐ μόγος ὀλλυμένοισιν.
Ἦρά τις ἀμπλακίης ποινὴ τάδε; ἦρα βίοιο
Ἄνθρακας ὡς χρυσῖον καθαιρομένου χοάνοισιν;
Ἦρά μ' ὁ λυσσώδης καὶ βάσκανος οἷά τιν' Ἰὼβ
Ἐς δῆριν καλέει; σὺ δ' ἀλείφεις ὅν με παλαιστὴν
Τείψας, οὔτε πάροιθε μέγαν γυμνοῖς πρὸς ἀγῶνα,

Ὥς κεν ἀεθλεύοντι γέρας καὶ κῦδος ὀπάσσῃς.
Ταῦτα μὲν αὐτὸς ἄναξ οἶδας λόγε. καὶ γὰρ ἅπαντα
Κόσμον ἄγεις, μεγάλοισι λόγοις κρυπτοῖσιν ἑλίσσων.
Ὧν ὀλίγη τις πάμπαν ἐς ἡμέας ἔρχεται αὐγή
Πηλὸν ἐπειλυμένους, καὶ ὄμματα νωθρὰ φέροντας.
Αὐτὰρ ἐγὼ κέκμηκα βίῳ, τυτθὸν δ' ἐπὶ γαίης
Ἆσθμα φέρω, πολλῇσιν ἐλαυνόμενος κακότῃσι,
Δυσμενέων, φιλίων τε. τὸ, καὶ περιώσιον ἄλγος.
Τοὔνεκεν αἰάζω. σοὶ πίπτω δ' ὑπὸ γούνασι σεῖο.
Δὸς λύσιν βιότοιο νεκρῷ σέο. δὸς καμάτοιο
Ἄμπνευσιν. ζωῆς δ' ἐμὲ ἐλαφροτέρης ἐπίβησον,
Ἧς χαίρειν ἀγαλλόω, καὶ κήδεα μυρί' ἀνέτλην.
Ἀγγελικοῖς δὲ χοροῖσι φέρων πελάσειας ὁδίτην
Οὐρανίου πυλεῶνος, ὅθι κλέος ἀστράπτοντος
Τριαστῖς ἐν φαέεσσιν ἑνὸς μεγάλοιο θεοῖο.

ΠΡῸΣ ἙΑΥΤῸΝ ΚΑΤᾺ ΠΕΥ͂ΣΙΝ ΚΑῚ ἈΠΌΚΡΙΣΙΝ.

οῦ δὲ λόγοι πτερόεντες; ἐς ἠέρα. ποῦ δὲ νεότητος
ϖ Ἄνθος ἐμῆς; ἀπόλωλε. τὸ δὲ κλέος; ᾤχετ' ἄϊστον.
Ποῦ σθένος εὐπαγέων μελέων; κατὰ νοῦσος ἔκαμψε.
Ποῦ κτῆσις καὶ πλοῦτος; ἔχει θεός. ἀλλὰ δ' ἀλιτρῶν
Ἁρπαλέαις παλάμῃσι πόρε φθόνος. οἱ δὲ τοκῆες,
Ἠδὲ κασιγνήτων ἱερὴ δυὰς, ἐς τάφον ἦλθον.
Μούνη μοι πάτρη περιλείπετο. ἀλλ' ἄρα καὶ τῇ
Ὄρσας οἶδμα κελαινὸν ὁ βάσκανος ἤλασε δαίμων.
Καὶ νῦν ξεῖνος ἔρημος ἐπ' ἀλλοτρίης ἀλάλημαι
Ἕλκων ζωήν τε λυπρήν, καὶ γῆρας ἀφαυρόν.
Ἄθρονος, ἀπτολίεθρος, ἄπαις, τεκέεσσι μεμηλὼς,
Ζώων ἦμαρ ἐπ' ἦμαρ ἀειπλανέεσσι πόδεσσι.
Ποῖ ῥίψω τόδε σῶμα; τί μοι τέλος αὖ τι βολήσει;
Τίς γῆ; τίς δὲ τάφος με φιλόξενος ἀμφικαλύψει;
Τίς δ' ὄσσοισι μινυνθαδίοισιν ἐμοῖς ἐπὶ δάκτυλα θήσει;
Ἦ ῥά τις εὐσεβέων Χριστοῦ φίλος; ἦ ῥα κακίστων;
Ταῦτα μὲν αὖρα φέροι. τυτθῆς φρενὸς ἥδε μεληδών.
Εἴτε τάφῳ δώσει τις ἐμὸν δέμας, ἄπνοον ἄχθος.
Εἴτε καὶ ἀκτέριστον ἕλωρ θήρεσσι γένοιτο,

Vt certanti præmium, & gloriam præstes.
Hæc quidem ipse rex nosti uerbum, etenim omnem
Mundum agis, magnis rationibus absconsis uoluens,
Quorum parua quæpiam omnino ad nos uenit lux
Lutum adhuc uolutante, & oculos segnes ferentes.
Verum ego defeci uitæ, paruum uero in terra
Spiritum fero, multis agitatus uitiis,
Hostium, amicorumque, quod & maximus est dolor,
Quapropter lugeo, cado autem sub genibus tuis.
Des solutionem uitæ mortuo tuo, des laboris
Respirationem uitæ, aut leuiori me inducas,
Cuius gratia doleo. & dolores infinitos sustinui.
Angelicis autem choris ferens admouens uiatorem
Cœlestis uestibuli. ubi gloria est fulgurantis
Triplicibus in luminibus unius magni dei.

AD SEIPSVM PER INTERROGATIONEM ET RESPONSIONEM.

u Bi uero uerba pennata. in aerem ubi iuuentutis
Flos meæ. periit. gloria autem abiit obscura.
Vbi robur bene cõpactorum mẽbrorum. morbus iflexit.
Vbi possessio & diuitiæ. habet deus alia uero peccatorum
Rapacibus manibus præbuit inuidia, parentes uero,
Et fratrum sacer binarius. in sepulchra abierunt.
Sola mihi patria relicta est. Sed & huic
Impellens undam nigram inuidus ægit dæmon,
Et nunc hospes solitarius in aliena erro
Trahens, uitamq; molestam, & senium debile,
Sine sede, sine urbe, sine filiis, filiis curæ existens,
Viuens diem in diem errabundis pedibus,
Quo iaciam hoc corpus? qui mihi finis occurret?
Quæ terra? quod uero sepulchrum hospitale occulet?
Quis uero oculis deficientibus meis digitos imponet?
Num quis piorum Christi amicus? num pessimus?
Hæc quidem aura ferat, paruæ mentis, atq; cura.
Siue sepulchro dabit quis meum corpus, inspirans onus.
Siue imparentatum cibus feris fiat,

80

Feris, siue canibus laniamentum, aut uolatilibus,
Si uero uis, igne combustum in aerem manibus spargas,
Vel in scopulis magnis proiicias insepultum,
Aut fluuiis marcescat, & pluuialibus fluxibus.
Non enim obscurus ego solus ero, neq; incolligibilis
Quando utinam, multis hoc melius, sed simul omnes
Vltimus dies agit a finibus nutibus diuinis,
Sicubi & cinis aliqua, demortuaq; membra morbo.
Vnum autem hoc lugeo, & timeo tribunal dei,
Et fluuios igneos, obscuraq; grauia barathra.
Christe rex, tu uero mihi patria, robur, opes, omnia.
Tibi uero utiq; recreem uitam, & dolores permutans.

IN SOMNIŪ DE ANASTASIA ECCLESIA, quam STRVXIT IN CONSTANTINI VRBE.

d Ormiebam sane dulcē sōnū, anastasiā uero somnium
Statuit meis ferens diurnis desyderiis,
Quæ prima uerbum excelsum in radicibus manens
Duxit in uerticem montis summum.
Quapropter anastasiam id cognomento uocant
Templum, meæ dextræ opus optimi laboris.
Sedere uidebar supersedens, non superciliis elatus,
Neq; enim, neq; in somnis honorabam superbiam,
Mihi autem utrinq; subsidebant senes,
Ouilis duces, electa ætas.
At uero suffectores in uestibus clarissimis
Stabant, angelici imagines nitoris.
Populi autem alii quidem fusi erant circumstanter, ut apes
Cancelli, erat enim certamen proximius accedere.
Alii uero sacris uestibulis circūangebantur fluentes,
Auribus, ac pedibus æque festinantes
Alios uero rursus, foraque, multifidæque simul uiæ,
Pedibus pulsatæ, mittebant meis sermonibus.
At uero ab excelsis tectis ornatum auditum
Sanctæ uirgines, declinabant una cum benenuptis.
Atque hic noctis lusus, præcipue stabat populus
Verba nostra exaudire cupiens.

Θήρεσιν ἠὲ κύνεσσιν ἑλώριον, ἢ πετεηνοῖς.
Εἰ δ' ἐθέλεις, πυρίκαυστον ἐς ἠέρα χείρεσι πάσσοις,
Ἠὲ κατὰ σκοπέλων μεγάλων ῥίψειας ἄτυμβον,
Ἢ ποταμοῖσι πύθοιτο, καὶ ὑετίοισι ῥοῇσιν.
Οὐ γὰρ ἄϊστος ἐγὼ μόνος ἔσσομαι, οὐδ' ἀσύνακτος.
Ὢ ὄφελον. πολλοῖς τόδε λώϊον. ἀλλ' ἅμα πάντας
Ὕστατον ἧμαρ ἄγει περάτων ἀπὸ νεύμασι θείοις,
Εἴπου καὶ σποδιῆς, ὀλωλότα θ' ἅψεα νούσῳ.
Ἒν δὲ χὸδ' ἀΐξω, καὶ δείδια βῆμα θεοῖο,
Καὶ ποταμοὺς πυρόεντας, ἀφεγγέα τ' αἰνὰ βέρεθρα.
Χριστὲ ἄναξ, σὺ δέ μοι πάτρη, σθένος, ὄλβος, ἅπαντα.
Σοὶ δ' ἄρ' ἀναψύξαιμι βίον καὶ κῆδε' ἀμείψας.

ἘΝΎΠΝΙΟΝ ΠΕΡῚ ΤΗ͂Σ ἈΝΑΣΤΑΣΊΑΣ ἘΚΚΛΗΣΊΑΣ, ἫΝ ἘΓΉΞΑΤΟ ἘΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΌΛΕΙ.

Ὕδον δὴ γλυκὺν ὕπνον, ἀναστασίαν δέ τ' ὄνειρος
ἐ Στῆσεν ἐμοῖσι φρενῶν ἱματίοισι πόθοις.
Ἣ πρώτη λόγον αὖτις ἐνὶ προπόδεσσι μένοντα,
Ἤγαγεν ἐς κορυφὴν οὔρεος ἀκροτάτην.
Τοὔνεκ' ἀναστασίαν μιν ἐπίκλησιν καλέουσι
Νηὸν, ἐμῆς παλάμης ἔργον ἀριστοπόνου.
Ἥζεσθαι δοκέεσκον ὑπέρθρονος, οὐχ ὑπέροφις,
Οὐδὲ γὰρ οὐδὲ ὄναρ τοῖον ἀγηνορίην.
Οἱ δέ μοι ἀμφοτέρωθεν ὑφεδριόωντο γεραιοὶ,
Ποίμνης ἡγεμόνες, ἔκκριτος ἡλικίη.
Οἱ δ' ἄρ' ὑποδρηστῆρες ἐν εἵμασι παμφανόωσιν
Ἕστασαν, ἀγγελικῆς εἰκόνες ἀγλαΐης.
Λαοὶ δ' οἱ μὲν, ἔχυντο περισταδὸν, ὥς τε μέλισσαι
Κιγκλίδος. ἦν γὰρ ἀγῶν ἀσσοτέρω πελάσαι.
Οἱ δ' ἱεροῖς προθύροισι περιστείνοντο ῥέοντες,
Οὔασιν ἠδὲ ποσὶν ἶσον ἐπειγόμενοι.
Ἄλλοις δ' αὖτ' ἀγοραί τε πολυσχιδέες θ' ἅμ' ἀγυιαὶ,
Ποσσὶ κροαινόμεναι, πέμπον ἐμοῖσι λόγοις.
Αἱ δ' ἄρ' ἀφ' ὑψηλῶν τεγέων εὔκοσμον ἄκουον
Ἁγναὶ παρθενικαὶ, κλῖνον ἅμ' ἐσθλογάμοις.
Καὶ τὸ δὲ νυκτὸς ἄθυρμα. διακριδὸν ἵστατο λαὸς
Μύθων ἡμετέρων εἰσαΐειν ποθέων.

81

Ὃς μὲν δὴ χθαμαλὸν καὶ ἐπίδρομον ἤπιε μῦθον.
  Οὐ γὰρ ἄνω νεύειν ἤθελεν, οὐδ' ἐδάη.
Αὐτὰρ ὅ γ' ὑψιθέοντα καὶ εὔστροφον, οἷσι μεμήλει
  Βένθε' ἀνιχνεύειν ἀμφοτέρης σοφίης,
Ξείνης θ', ἡμετέρης τε, βοὴ δ' ἑκάτερθεν ὀρώρει
  Ἑλκομένοιο λόγου μαρναμένοισι πόθοις.
Αὐτὰρ ἐμοὶ στομάτων τριὰς ἔρρεεν ἡ μονόσεπτος
  Λαμπομένη τριάδος κάλλεσιν οἰγομένοις,
Φωνῇ τε στιβαρῇ, καὶ πνεύματος αἰθομένοιο
  Οἴδματι, καὶ μύθων ἅλμασιν ἀντιπάλων.
Καί ῥ' οἱ μὲν, πάλλοντο, καὶ ᾔνεον. οἱ δὲ, σιωπῇ
  Θάμβεον. οἱ δὲ, λόγῳ ξύζον. ἔθ' οἱ δὲ, νόῳ
Θνησκούσης ὠδῖνος ἀναιδέος. οἱ δὲ, μάχοντο
  Οἷα καθισαμένου κύματος ἐξ ἀνέμων.
Πάντας δ' εὐεπίη κατεκήλεεν, εὐφραδέας τε,
  Καὶ μύθων ἱερῶν ἴδμονας εὐσεβέων.
Ἠ μετρίους τε, νόθους τε, καὶ οἳ μάλα τηλόθι μάνδρης
  Τλήμονες εἰδώλων λάτρεις ἀδρανέων.
Ὡς δὲ βότρυς λιαρῇσιν ὑπ' ἀκτίνεσσι μελαγχθεὶς,
  Οὔτ' ὄμφαξ καθαρῶς ἠρέμα λυόμενος,
Οὔθ' ὅλος ὥριός ἐστι, τὸ μὲν, μέλαν, ἄλλο δ' ἐρυθρὸς,
  Ἄλλο δ' ἄρ' αἰθαλόεις, ὄμφακα δ' ἄλλο ἔχει,
Ὣς οἱ δηϊόωντο πεπαινομένης κακότητος,
  Ἤδη καὶ λῴοις γήθεον εὐρυτέροις.
Ταῦτ' ἔχον. ἐκ δέ μοι ὕπνον ἀπὸ βλεφάρων ἐτίναξε
  Γῆρυς ἀλεκτρυόνων. ὢ δ' ἅμ' ἀναστασίαν.
Φάσμα δὲ φάσματος εἶχον ἐπὶ χρόνον, αὐτὰρ ἔπειτα
  Καὶ τὸ, φύγε κραδίην ἦκα μαραινόμενον.
Μοῦνον δ' ἄλγος ἔμεινεν ἐμοὶ, καὶ γῆρας ἀνιηρόν.
  Ὤμοι ἐμῆς τριάδος. ὤμοι ἐμῶν τεκέων.
Ὦ φθόνε, τίπτε μ' ἔοργας. ἔχεις τόσον. ἄλλο χέρειον
  Μή τι βάλῃς ἐπ' ἐμῷ δυσθανέϊ βιότῳ.
Ἦ μὲν δὴ πολλοῖσιν ἀγαλλομένη, μεγάλοις τε
  Κάλλεσι δαιδαλέοις ἡ βασίλεια πόλις,
Νηοῖς οὐρανίοισιν ἀγάλλεται ἔξοχον ἄλλων.
  Νηοῖς, τοῖς ποτ' ἐμοῖς, νῦν γε μὲν ἀλλοτρίοις.

Qui sane humile, & cursile petebat uerbum.
Non enim sursum uergere uolebat, neque doctus fuit.
At hic cælsicurrentem & uolubilem, qbus curæ fuerat
Profunda inuestigare utriusque sapientiæ.
Externæque nostræque, uox autem utrinque ruerat
Tracto sermone, pugnantibus desyderiis.
Verum mihi oris trinitas effluebat solicola
Splendens triplicibus pulchritudinibus apertis,
Voceque ualida, & spiritus ardentis
Vnda, & uerborum saltibus aduersariorum,
Atque hi quidem, uibrabantur, & laudabant, hi uero silentio
Admirabant̃, alii uero oratione susurrabāt, hi uero ēt mēte.
Mortuo dolore in uocali, alii uero pugnabant,
Veluti quiescente unda a uentis.
Omnes autem benedicentia demulcebat, beneloquentesque,
Et uerborum sacrorum gnaros piorum.
Nostrosque, spuriosque, & qui ualde longe a mandra
Miseri simulachrorum cultores infirmorum.
Vt autem racemus calidis sub radiis denigratus,
Neque acerbus pure sensim solutus,
Neque totus maturus est, id qdem niger, aliud uero rubeus
Aliud autem igneus, acerbum autem aliud habet,
Sic hi dissidebant maturescente uitio,
Iam & torcularibus gaudebant latioribus.
Hæc habebam, mihi uero somnū a palpebris excussit
Vox gallorum, cum hocque simul anastasiam.
Visum autem uisi habebam ad tempus, uerum deinde,
Et hoc fugit cor sensim flaccescens.
Solus autem dolor mansit mihi, & senectus dolorosa.
Heu meam trinitatem, heu meos filios.
O inuidia, qd nā mihi fecisti? habes tantum, aliud deterius.
Nequid misceris in mea male pereunte uita.
Quippe quidem multis exultans, magnisque
Pulchritudinibus uariis regina urbs,
Templis cœlestibus exultat supra alia.
Templis olim meis, nunc uero alienis.

82

Cum quibus, & gloriosum solum Christi discipulorum,
Lateribus cruciformibus quatrifariam sectum.
Sed non tantum mihi certe desyderium, & dolor illorum,
Quantum anastasiæ, Bethleem ultimæ,
Quippe multa laboraui, & in mari & per terram,
Inimicis & amicis, pastoribus, atq; lupis,
Morboq; odioso, & senio curuo,
Nullus autem antea mihi talis euenit dolor,
Non tantum Assyriis, cum ducebatur longe a patria
Populus captiuus, templum luxit magnum.
Neq; uero neq; arcam, cum alienigenis imixta fuit,
Neque Iacob antea filium subreptum carum.
Non leo barbatus uenatoribus domitos
Catulos, neque gregem bubulcus pereuntem,
Neq; hospitalis planta desuper nidum
Auis relinquens inuita, non polypus cubile,
Quantum ego nuper constructum lugeo etiam nunc
Templum, quod alius habet fructum meorum laborum,
Si quando tui obliuiscatur meum cor, siue quid lingua
Antea ferat apud me, Christus mei obliuiscatur,
Sæpenumero & magnis sacrificiis sine, atque mensa,
Populum anastasiæ lustraui longe manens,
Statuens in mentibus incorporeum intus templum,
Lachrymas delibans uisis diuinioribus,
Iniugati, cantoresque, chorique amabiles
Hospitum nostratium ex aspectu opposito,
Viduæque, orfanicique, errabundi, imbecillesque,
Aspicientes ad meas ut dei palmas,
Domusque dulces, senii alumnæ, nunq̃ ego sane
Obliuiscar, neque uolens uestræ amicitiæ,
Si uero quidquam & mei multa tolerantis relictum est
Memoriæ inter uestros, hæc gratia est trinitatis.
Multi enim temporibus accõmodatum cor habent,
In solis autem pudor oculis leuiorum,
Illud tamẽ desydero ueneranda trinitas, semp inobliuiscibilis
Animabus nuper plantatis tui maneat diuinitas.

Σὺν χριστῷ, καὶ μεγάλαυχον ἔδος χριστοῖο μαθητῶν,
Πλευραῖς σταυροτύποις τέτραχα τεμνόμενον.
Ἀλλ' οὐ τόσσος ἔμοιγε πόθος καὶ ἄλγος ἐκείνων,
Ὅσσος ἀναστασίης, βηθλεὲμ ὑστατίης.
Ἦ μὲν πολλ' ἐμόγησα καὶ εἰν ἁλὶ καὶ κατὰ γαῖαν,
Ἐχθροῖς καὶ φιλίοις, ποιμέσιν ἠδὲ λύκοις,
Νούσῳ τε στυγερῇ, καὶ γήραϊ καμπυλόεντι.
Οὔτι δὲ πρόσθεν ἐμοὶ τοῖον ἐπῆλθεν ἄχος.
Οὐ τόσσον ἀστυείοισιν, ὅτ' ἤγετο τηλόθι πάτρης
Λαὸς δουριαλής, νηὸν ἔκλαυσε μέγαν,
Οὐδὲ μὲν οὐδὲ κιβωτόν, ὅτ' ἀλλοφύλοισιν ἐμίχθη,
Οὔτ' ἰακὼβ τὸ πάροσ υἷα κλαπέντα φίλον,
Οὐ λὶς ἠϋγένειος ἐπακτήρεσσι δαμέντας
Σκύμνους, οὐδ' ἀγέλην βουκόλος ὀλλυμένην,
Οὐδὲ φιλοξείνοιο φυτοῦ καθύπερθε καλιὴν
Ὄρνις ἀφεὶς ἀέκων, οὐ πολυπτοίο θαλάμην,
Ὅσσον ἐγὼ νεόπηκτον ὀδύρομαι εἰσέτι καὶ νῦν
Νηόν, ὃν ἄλλος ἔχει καρπὸν ἐμῶν καμάτων.
Εἴποτε σεῖο λάθοιτο ἐμὸν κέαρ, εἴ τέ με γλῶσσα
Πρόσθε φέροι παρ' ἐμοί, χριστὸς ἐμεῖο λάθοι.
Πολλάκι καὶ μεγάλων θυέων δίχα, ἢ δὲ τραπέζης,
Λαὸν ἀναστασίης ἤγνισα τηλεμένων,
Στήσας ἐν πραπίδεσσιν ἀσώματον ἔνδοθι νηόν,
Δάκρυ ἐπισπένδων φάσμασι θειοτέροις.
Ἄζυγες, ὑμνοπόλοι τε, χοροστασίαι τ' ἐρατειναί
Ξείνων ἠμεδαπῶν τ' ἐξ ὀπὸς ἀντιθέων,
Χῆραι τ', ὀρφανικοί τε, ἀλήμονες, ἀδρανέοντες,
Λεύσσοντες πρὸς ἐμὰς ὥς τε θεοῦ παλάμας,
Οἶκοί τε γλυκεροί, γηροτρόφοι, οὔποτ' ἔγωγε
Λήσομαι, οὐδ' ἐθέλων ὑμετέρης φιλίης.
Εἰ δέ τι που καὶ ἐμεῖο πολυτλήτοιο λέλειπται
Μνῆστις ἐν ὑμετέροις, ἠδὲ χάρις τριάδος.
Πολλοὶ γὰρ καιροῖσιν ἐπίρροπον ἦτορ ἔχουσιν,
Ἐν δὲ μόνοις αἰδὼς ὄμμασι κουφοτέρων.
Κεῖνό γε μὴν ποθέω σεπτὴ τριάς, αἰὲν ἄληστος
Ψυχαῖς ἀρτιφύτοις σεῖο μένοι θεότης.

χαίρετε ὦ βασιλῆες ἐμῶν παθέων ἐπιτάρροθοι.
  χαῖρέ μοι ἀντολίη καὶ δύσι μαρνάμεναι.
χαῖρε τέ μοι ἱερῆες ἐπ᾽ ἀλλήλοισιν ἰόντες.
  χαῖρε πρόεδρε τύφε. χαῖρε πόλις μεγάλη.
Αὐτὰρ ἐγὼ χθονίων μὲν ὑπέρτερός εἰμι θοώκων.
  Ἱμείρω δὲ μόνου κύδεος ἀθανάτου.
Ἀλλὰ καὶ σάω με φίλη τριάς. ὑστάτιον δὲ
  ὀψό με θ᾽ οὗπερ ἁγνῆς θῶκος ἀναστασίης.
Γρηγορείου γόος οὗτος ἀναστασίην ποθέοντος,
  τῆς περ τέ μιν φθονερὴ νόσφισεν ἀδρανίη.

ΠΕΡῚ ΤΩ͂Ν ΤΟΥ͂ ΒΊΟΥ ΔΙΑΦΟΡΩ͂Ν,
ΚΑῚ ΚΑΤᾺ ΨΕΥΔΙΕΡΈΩΝ.

ωγράφος ἐστὶν ἄριστος, ὃς ἐν πινάκεσσι χαράξας
ζ μορφὰς ἀτρεκέας, ἔμπνοα δερκομένας.
  Οὐχ ὃς χρώματα πολλὰ καὶ εὔχροα μὰψ ἐπιμίξας,
  ἀμμορφῶνα γραπτὸν δείκνυσιν ἐκ πινάκων.
Νῆα δὲ ποντοπόρειαν ἐπήνεσα, ἣ παρασήμοις
  κάλλεσιν, ἢ πρυμνῆς αἴθεσι λαμπομένην,
Ἀλλ᾽ ἣν ναυπηγοῖο χερὸς γόμφοισιν ἄριστα
  Δῶκαν πηξάμεναι κύμασι θαρσαλέην.
Καὶ στρατὸς ἐστὶν ἄριστος ἀρήϊος αὐτὶ καλοῖο,
  καὶ δόμος αἰγλήεις δεύτερος εὐπαγέος.
Ὣς δὲ βίων βροτέων, ὁ μὲν, ἄμβροτος, ὅν τινα Χριστῷ
  Τάρβος ἄγει, πλεκτῆς ἀλλότριον κακίης,
Ἔμπεδον, ἀστυφέλικτον, ἀπενθέα. ὃς δὲ κάκιστος,
  Ἔνδοθεν ἀδρανέων, ἔκτοθε κάρτος ἔχων,
Ὠκύμορον, φρενοπλῆξιν ὁμοίϊον, οἷσιν ἅπαντα
  Δινήεντα πέλει ἀστατέουσι νόον,
Τοῖος καὶ Χριστοῖο μεγακλέος ἀρητῆρσι
  Θυμός. ὁ μὲν, βροτέου λάτρις ἀσθενέος,
Κλινόμενος καιροῖσι, δόναξ πολύκαμπτος ἀήταις,
  Παντοίης κακίης οὐκ ἄκος, ἀλλὰ τύπος.
Αὐτὰρ ὅ γε ζομβρῆσι καὶ εὐαγέσιν παλάμῃσι
  Δῶρον ἄγει, Χριστοῦ σαρκὶ χαριζόμενος,
  Καὶ μεγάλοισι παθέεσσιν, ἅπερ θεὸς ἐνθάδ᾽ ἀνέτλη,

V alete o reges meorum affectuum auxiliatores,
V ale mihi exortus & occasus pugnantes.
V alete mihi sacerdotes in suosipsos euntes.
V ale præses superbia, uale urbs magna,
V erum ego terrestrium quidem superior sum sedium,
C upio autem solam gloriam immortalem.
S ed & serues me cara trinitas, postremo autem
Videbimus ubi sanctæ sedes est anastasiæ,
G[regorii luctus hic anastasiam cupientis,
Qua olim illum inuida priuauit infirmitas.

DE VITAE DIFFERENTIIS ET CONTRA FALSOS SACERDOTES.

P Ictor est optimus, qui in tabellis imprimit
Formas ueras, spirantia uisus,
N on q colores multos bene coloratos statim imiscẽs,
P ratum pictum ostendit & tabellis,
N auem autem mariuagam laudaui, non adulterinis
Pul chritudinibus, non puppis floribus splendentem,
S ed quam structoris manus clauis optime
D ederunt fabricantes undis fidentem.
E t exercitus est optimus martium pro pulchro,
E t domus splendida secunda est bene compactæ,
V t uitarum mortalium, ea quidem imortalis, quã christo
T imor ducit, implicati aliena uitii,
F irmam, inconcussam, illugubrem, quæ uero pessima est
I ntus infirma, extra robur habens
C eleris mortis, mente captis similis, quibus omnia
V ertiginosa sunt inconstantibus mente,
T alis & Christi gloriosi cultoribus
A nimus, ille quidem mortalis cultor semper potentis,
V ergens temporibus, harundo multiflexi uentis,
O mnimodi uitii non medela, sed figura,
V erum hæc tremulis & sanctis palmis
D onum ducit, Christi carni gratificata,
E t magnis passionibus, quas deus hic tolerauit,

Liberamentum pristinarum nostrarum passionum.
Cui uiuit soli, & delectatur, cui certe diuidit
Animum a terrestribus inde erigens.
Hominibus autem bonis dat mentem, malis autem
Flectitur, quantum lapis horrendus adamas.
Neq; hic curam habet diuitiarum, magnarumq; sedium,
Non gloriæ mortalis hic tractæ.
Neq; pellem regis habens fortis leonis,
Cælat uulpinam intus seruitutem.
Mortiuorus, dolosus, pernitiosus, alius inter alios
Variis malitiæ formis occultatus.
Sed mentem puris intellectionibus semper augens,
Iam & trinitatem attingit cœlestem,
Cuius formam affixit in mentibus suis,
Gloria una in tribus pulchritudinibus uisa,
Et populum sacrificiis puris deiformem struens.
Postremo animæ sacrificia exanguia fert.
Horum ego cupiens unus esse, non occultabo
Iam & uestibula intra calcem habens.
Vt uidi infanda opera, machinamentumq; molestum
Retrocedens, extra posui pedem.
Quippe multa laboraui & in aliis incredulis,
Quibus inest linguæ sonus adhuc nostræ
Lapides mei, illorum autem trinitas diuinitas nuper cōpacta.
Talibus inuicem suscepimus muneribus,
Sed & sic cessi relinquens sermonem non amplius incredulum,
Vndiq; nostris undis iactatus.
Iaceo, supergredere, supergredere mala inuidia, certe cito iā te
Continebo, & ultimis finibus occultatus,
Et feræ obscuris in uisceribus cohercitus
Cetis marinis, quēadmodum olim Ionas ingressus est,
Corpus qdem in uisceribus, mens uero solutis motibus
Ibit quo uoluerit, quamuis cohercita.
Hoc bonorum solum est liberum, neq; continibile,
Neq; captabile, Christo mens eleuata,
Non mortalis regis contubernalis, ut prius

Ῥύσιον ἀρχεγόνων ἡμετέρων παθέων.
Ὧ ζώει μούνῳ, καὶ τέρπεται. ᾧ ῥα κε αὐτῇ
Θυμὸν ἀπὸ χθονίων ἔνθεν ἀνιστάμενος.
Ἀνθρώπων δ᾽ ἀγαθοῖσι δίδοι φιλία, τοῖς δὲ κακοῖσι
Κάμπτεται, ὅσα λίθος ὀκρυόεις ἀδάμας.
Οὐδ᾽ ὅγ᾽ ἐπιστρέφεται πλούτου, μεγάλων τε θοώκων,
Οὐ δόξης βροτέης ἐνθάδε συρομένης.
Οὐδὲ δορὴν βασιλῆος ἔχων βριαροῖο λέοντος,
Κεύθει κερδώην ἔνδοθι δουλοσύνην.
Νεκροβόρος, δολόμητις, ἀτάσθαλος, ἄλλος ἐν ἄλλοις
Παντοδαποῖς κακίης εἴδεσι κλεπτόμενος.
Ἀλλὰ νόον καθαροῖσι νοήμασιν αἰὲν ἀέξων,
Ἤδη καὶ Τριάδος ἅπτεται οὐρανίης,
Ἧς τύπον ἐστήριξεν ἐνὶ πραπίδεσσιν ἑῇσι,
Κῦδος ἓν ἐν τρισσοῖς κάλλεσι δερκόμενος.
Καὶ λαὸν θυέεσσιν ἁγνοῖς θεοφιλέα τεύχων,
Ὑστάτιον ψυχῆς θῦμα τ᾽ ἄγαλμα φέρει.
Τῶν μὲν ἐγὼ ποθέων εἷς ἔμμεναι, οὐκ ἐπικυδὴς
Ἤδη καὶ προθύρων ἔνδοθι ταρσὸν ἔχων.
Ὡς ἴδον αἴσυλα ἔργα, κακορραφίην τ᾽ ἀλεγεινὴν,
Ἂψ ἀναχασσάμενος, ἐκτὸς ἔθηκα πόδα.
Ἦ μὴν πολλ᾽ ἐμόγησα καὶ ἐν ἄλλοισιν ἀπίστοις,
Οἷσιν ἐνὶ γλώσσῃ ἦχος ἔθ᾽ ἡμετέρης.
Λαὸς ἐμοὶ, κείνων δὲ Τριὰς θεότης νεόπηκτος.
Τοίοις ἀλλήλους ξεινίζομεν, ξενίοις.
Ἀλλὰ καὶ ὣς ὑπέδεξα λιπὼν λόγον οὐκ ἔτ᾽ ἄπιστον,
Πάντοθεν ἡμετέροις κύμασι βαλλόμενος.
Κεῖμ᾽, ἐπίβαιν᾽, ἐπίβαινε κακὲ φθόνε. ἦ τάχα δή σε
Σχήσω, καὶ πυμάτοις πείρασι κευθόμενος,
Καὶ θηρὸς ζοφεροῖσιν ἐνὶ σπλάγχνοισιν ἐρεχθεὶς
Κήτεος εἰναλίου, ὥσπερ τ᾽ Ἰωνᾶς ἔδυ,
Σῶμα μὲν ἐν σπλάγχνοισι, νόος δ᾽ ἀδέτοισιν ἐρωαῖς
Βήσεται οἷ κ᾽ ἐθέλῃ, καὶ πτερ᾽ ἐγειρόμενος.
Τοῦ τ᾽ ἀγαθῶν μόνον ἐς ἐλεύθερον, οὔτι καθεκτὸν,
Οὔθ᾽ ἑλετὸν, Χριστῷ νοῦς ἀναφερόμενος.
Οὐ θνητοῦ βασιλῆος ὁμέστιος, ὥς τε πάροιθεν

Γηραλέος θυλάκῳ ἦρα φέρων ὀλίγην,
Κείμενος ἐν μέσσοισι κατηφιόων καὶ ἄναυδος,
Ἄπνοον ἆσθμα φέρων, δούλια δαινύμενος.
Οὐχ ἕδρη τίσει με δικασπόλος, ἢ συνέδρῳ,
Ἠὲ χαμοιπετέϊ πνεύματι μέζα νέμων.
Οὐδὲ χέρας φονίους προσπτύξομαι, οὐδὲ γενείου
Δράξομ', ὥς τ' ὀλίγης ἀντιτυχεῖν χάριτος.
Οὐδ' ἱερὴν οὔτε δαῖτα γενέθλιον ἠὲ θανόντος,
Ἤ γ' ἀνὰ νυμφιδίην ξὺν πλεόνεσσι θέων.
Πάντα τὰ μὲν, γναθμοῖσιν ἐλώρια. τὰ δ' ἄρ' ὀπηδοῖς
Θήσομαι ἁρπαλέαις βεβαρηότα παλάμαις.
Ὀψὲ δὲ φορτίδ' ἄγων, τάφον ἔμπνοον, ἄψ οὔτε δῶμα
Ἕλξω τὴν μογερὴν γαστέρα τειρόμενος,
Ἆσθμα κόροιο φέρων. ἄλλην οὔτε δαῖτα παχεῖαν
Σπεύδων, πρὶν προτέρην ὕβριν ἀποσκεδάσαι.
Οὐδὲ μὲν οὐδὲ πρόεδρος ἐὼν ἱεροῖς ἐνὶ χώροις,
Ἢ μόνος ἢ πλεόνων εἷς ἐν ἀγειρομένων,
Φθέγξομαι οὔασι τερπνὰ, τὰ πνεύματος ἐκτὸς ῥίψας,
Ὥς κεν ἔοιμι πρόφρων, φίλτρον ἔχων πλεόνων.
Τερπόμενός τε κρότοισι, καὶ ἐνθεάζοισι χορεύων,
Κρημνοβάτης ἐπέων αὐτικορυσσομένων,
Ἀθλοφόροισιν ὁμοῖα, πολυγνάμπτοισί τε λάβροις,
Ἢ καὶ μαινομένοις ἀντίπαλ' ἡνιόχοις,
Οὐχ ὅλον αἰχμάλωτον, οὐ σώματος αἰθομένοιο
Λύσσαν ἐπιψύξας, οὐ χέρα μαινομένην
Πᾶσιν ἐπ' ἀλλοτρίοισι λόγου δεσμοῖσι πεδήσας,
Οὐ ψευδῆ κραδίης δόξαν ἀποσκεδάσας,
Οὐ τύφον οἰδαίνοντα διδάγμασιν ἐς χθόνα ῥίψας,
Οὐ πηγαῖς δακρύων δάκρυον ἐκκαλέσας,
Ἀλλ' ἓν φάρμακον αἰνὸν ἔχων θηρήτορα τιμῆς
Θυμὸν, καὶ θανάτου φάρμακον ἀζηκέως.
Οὐδέ τί που συνόδοισιν ὁμόθρονος ἔσσομ' ἔγωγε
Χηνῶν ἢ γεράνων ἄκριτα μαρναμένων.
Ἔνθ' ἔρις, ἔνθα μόθος τε, καὶ αἴσχεα κρυπτὰ πάροιθεν
Εἰς ἕνα δυσμενέων χῶρον ἀγειρόμενα.
Τοῦδε γὰρ εἵνεκ' ἔγωγε μέσος χθαμαλοῖσι κάθημαι

Ἥσσος

Gregorius arcæ oblectamen ferens paruum
I acens in mediis mœstus & mutus
I nſpirantem ſpiritum ferens, ſeruilia comedens,
N on ſedes honorabit me iudicatoria, uel conſenſu,
V el humili ſpiritu modos tribuens.
N eq; manus mortiferas complectar, neq; barbam
A ttingam, ut paruam contra ſortior gratiam.
N eq; ſacrum ad epulum natale, aut mortui,
A ut aliquod ſponſalitium cum pluribus currens,
O mnia hæc quidẽ, rapacibus laniamẽta, hæc uero ſequacibus
P onam rapacibus B riarei manibus.
S ero autem onerariam agens, ſepulchrũ ſpirans, ſero domũ
T raham laborioſum uentrem uexatus,
S piritum pueri ferens, aliud ad epulum pingue
Feſtinans, priuſq́ priorem contumeliam diſſipem,
N eque uero, neque præſes exiſtens in ſacris locis,
A ut ſolus aut pluribus in unum congregatis,
L oquar auribus iucunda, res ſpiritus extra proiiciens,
V t ſim promptus, amorem habens plurium,
D electatuſque plauſibus, & in theatris tripudians
P ræcipiti uadens uerbis colluctatis,
P ræmiorum latoribus ſimiliter, multiplicibusque iacturis,
V el et furentibus contra aurigis,
N on totum oppugnans, non corporis ardentis
Rabiem refrigerans, non manus furentem
O mnibus in alienis rationis uinculis, uinciens,
N on falſam cordis opinionem diſſipans,
N on ſuperbiam inflantem documentis in terram proiiciens,
N on fontibus lachrymarum lachrymam euocans,
S ed unum medicamentum graue habens uenatorem honoris
A nimum, & mortis remedium uere,
N eque uero congredientibus ſocius ſedis ero ego ſane
A nſerum aut gruum temere pugnantium,
V bi contentio, ubi bellumque, & obprobria cælata ante
I n unum hoſtium locum congregata.
H orum enim cauſa ego quidem medium humilibus ſedeo

86

Medicus affectuum, ipse sine morbis existens.
N on enim meæ canitiei ludere, & cultorem indecenter
Esse pro sedibus, pro quibus pugnantes
S cinduntur, & mundum totum secant illegiptime,
Heu heu, magnorum nostrorum dolorum,
H æc quidem quibus amicum, & cercopum robur sit,
A st ego Christo implebor quiescens
S i uero malum populi dei sapi habenas proiicere,
Stent capita excutientium,
V t quẽadmodum celerem equum expuitorem habenarum
Furor agat precipitiis, haud scopulis ferens,
P recor, ut omnia deo cara his curæ sint,
Si uero deteriora· longe aures habere.

AD EPISCOPOS·

Sacrificia mittentes incruentas sacerdotes
O animarum custodes gloriosi, o magni
F igmentum dei manib us in uestris ferentes,
O deum hominibus ualde excellentem in unum ducentes,
O mundi fundamenta, uitæ lux, columen uerbi,
S acerdotes uitæ infinibilis splendidæ,
C hristiferi, sedibus insidentes optimis,
E xcelsi, theatris gaudentes decentibus,
Sceniuagi, membris insistentes ligneis,
I nfirmiter hiantes in alienis personis,
P ietatis aũt quæcũq; sunt intus, similia omnibus habentes.
V os quidem ludatis, quæ & luditis indecenter,
E t grauiter loquamini, quæ facitis ut ualde leuia.
V erum ego, & si me malum & incõmodum uirum
O mnes simul ponatis, a choro autem procul pellatis
V estro, iacientes frequentibus sagittis,
M anifestis, absconsisq;, quod & amicius uobis,
S ed tamen quæ me animus compellit & iubet
L oquar nolens quidem, uerum sermonẽ extra rumpam
A nimum, ut cum unda coacta extra uehem enti
V ento, & cauernas subiens, non uisibiliter
F eruet, & quid certe decidit, soli,

Ἰητρὸς παθέων αὐτὸς ἄνουσος ἐών.
Οὐ γὰρ ἐμῆς πολιῆς παίζειν, καὶ λάτρειν ἀεικῶς
Ἔμμεναι ἀντὶ θρόνων, ὧν πέρι μαρνάμενοι
Σχίζονται, καὶ κόσμον ὅλον τέμνουσιν ἀθέσμως.
Αἰαῖ τῶν μεγάλων ἡμετέρων ἀχέων.
Ταῦτα μὲν, οἷσι φίλον, καὶ κερκώπων κράτος εἴη.
Αὐτὰρ ἐγὼ Χριστοῦ πλήθομαι ἀζεμέων.
Εἰ δὲ κακὸν λαοῖο θεόφρονος ἡνία εἶναι,
Ἔστωσαν κεφαλαὶ τῶν ἀποσεισαμένων,
Οὓς φάκεν ὡς θοὸν ἵππον ἀποπτυστῆρα χαλινῶν
Θυμὸς ἄγει κρημνοῖς, ἢ σκοπέλοισι φέρων.
Εὔχομαι, ὥς κεν ἅπαντα θεῷ φίλα τοῖσδε μεμήλοι.
Εἰ δὲ χερειότερα, τηλόθεν οὔατ' ἔχειν.

ΕἸΣ ἘΠΙΣΚΌΠΟΥΣ.

Θυσίας πέμποντες ἀναιμάκτους ἱερῆες,
ὦ Ὦ ψυχῶν ταμίαι μεγακυδέες, ὦ μεγάλοιο
Πλάσμα θεοῦ χείρεσσιν ἐν ὑμετέρῃσι φέροντες,
Ὦ θεὸν ἀνθρώποισι μέγ' ἔξοχον εἰς ἓν ἄγοντες,
Ὦ κόσμοιο θέμεθλα, βίου φάος, ἕρμα λόγοιο,
Μυστοπόλοι ζωῆς ἀτελευτήτοιο φαεινῆς,
Χριστοφόροι, θώκοισιν ἐνεδριόωντες ἀρίστοις,
Ὑψηλοῖς, θεάτροισι γεγηθότες εὐπρεπέεσσι,
Σκηνοβάται, κοίλοισιν ἐφεσταότες ξυλίνοισιν,
Ἀδρανέως χάσκοντες ἐν ἀλλοτρίοισι προσώποις,
Εὐσεβίης ὅσα δ' ἐντὸς, ὁμοίια πᾶσιν ἔχοντες,
Ὑμεῖς μὲν παίζοιτε, τά περ καὶ παίζετ' ἀεικῶς,
Καὶ σοβαρὸν φθέγγοισθε, τὰ δ' ἔρδετε ὡς μάλ' ἐλαφρά.
Αὐτὰρ ἐγὼν, εἰ καί με κακὸν καὶ ἀνάρσιον ἄνδρα
Γάντες ὁμοῦ θεῖτε, χοροῦ δ' ἄπο τηλεδίοιο
Ὑμετέρου, βάλλοντες ἐπασσυτέροισιν ὀϊστοῖς,
Ἀμφαδίοις, κρυπτοῖσί τε, τό περ καὶ φίλτερον ὕμμιν,
Ἀλλ' ἔμπης τά με θυμὸς ἐποτρύνει καὶ ἀνώγει,
Φθέγξομαι, οὐκ ἐθέλων μὲν, ἀτὰρ λόγον ἔκτοθε ῥήξω
Ψυχῆς, ὡς ὅτε κῦμα βιαζόμενον ἔκχυθι λάβρῳ
Πνεύματι, καὶ σήραγγας ὑπεξέχον, οὐκ ἐπίοπτα
Καχλάζει, καί πού τι διεκπίπτει δαπέδοιο,

FF

87

Ῥ ηγνυμένης ὠδῖνος ἀνάστομα. οἷα πέπονθα.
Ο ὐ δύναμαι χαδέειν ἐντὸς χόλον. ἀλλὰ δέχεσθε
Ε ἴ τινα καὶ δάκε θυμὸν ἐμῶν λόγον, ἰὸν ἀϋτῆς.
Φ άρμακον ἄλγεος ἔστι καὶ ἤδει μῦθον ἐνισπεῖν.
Σ ῶμα μέγα Χριστοῖο, τὸ τίμιον εὖχος ἄνακτος,
Λ αὸς ὅλης γαίης βασιλήϊος, ἔθνος ἄπιστον,
Ἦ ν ὅτε ἦν. νῦν αὖτε θεοῦ κτέαρ ἔνθα καὶ ἔνθα
Σ είεται, οἷά τε κῦμα πολυσμαράγοιο θαλάσσης,
Ἠ ὲ φυτὸν ζαμενέσι τινασσόμενον ἀνέμοισι.
Λ αὸς ὅδ', ᾧ θεὸς ἦλθεν ἀπ' οὐρανίοιο θοώκου,
Κ ῦδος ἑὸν θνητοῖσιν ἐνὶ σπλάγχνοισι κενώσας,
Κ αὶ μίχθη μερόπεσσι, θεὸς βροτὸς εἰς ἓν ἀγερθείς,
Κ αὶ μέγαν ὦνον ἔδωκε παθὼν δέμας, αἵματι θεῖον
Ῥ ύσιον ἡμετέρης κακίης χέεν. ἄλλα τε πολλὰ
Θ ύματα, τοὺς μετέπειτα λόγον σπείραντας ἅπασι,
Κ αὶ γλυκεροῦ θανάτοιο πικρῆς χερὸς ἀντιάσαντας,
Ὥ ς κε λόγῳ τίωσι λόγον θεὸν, αἵματι δ' αἷμα.
Τ ίς δονέει τόδε σῶμα; πόθεν τόσον ἄχθος ἔμοιγε;
Π ῶς δέ τε σῦς μονόφορβος ἐμὴν δηλήσαθ' ἀλωήν;
Π ῶς μήνη σκοτόεσσα τὸ σὸν κλέος ἀμφεκάλυψε;
Λ υσσήεις, κακοεργὸς, ἐπεὶ μερόπεσσι μεγαίρων
Ἐ ξέτι τοῦ, ὅτε πρῶτον Ἀδὰμ βάλεν ἐκ παραδείσου,
Ζ ωῆς τ' ἀθανάτου κλέψας δηλήμονι καρπῷ,
Κ αὶ πολλοῖς κρατεροῖσί τε τινάγμασιν αἰὲν ἀτίζων,
Ο ὐδένεν ὡς ἐθέεσκεν ὅλον γένος, οἷσι δόλοισι
Γ νὺξ βαλέειν. σπινθὴρ δὲ λόγου, καὶ πυρσὸς ἀερθείς,
Π ᾶσαν ἐπέδραμε γαῖαν ἀοίδιμος. οἱ δὲ διῶκται,
Κ αὶ πλέον ἐστήριξαν ἀεθλοφόροισι παγέντας.
Δ εύτερον εὕρατο μῆχος ἐπίκλοπον, ὡς στρατὸν ἔγνω
Κ αρτερὸν, ἡγητῆρσιν ὀλοίϊον ἔμβαλεν ἔχθος.
Κ αὶ γὰρ ἀγοῦ πίπτοντος, ὅλος στρατὸς ἐς χθόνα νεύει.
Γ οντοφόρον δέ τε νῆα κακὸς ἐπρώιξεν ἀήτης,
Ἢ σκοπέλοισιν ἔαξε, κυβερνητῆρος ἄτερθεν.
Ὣ σ δὲ δόμοις τε, πόλεσί τε, χοροὺς, βόας, ἅρματα, πῶϋ,
Β λάπτεν ἀϊδρείη σημάντορος. εἰδόσι μῦθος
Ἡ μετέρην κακίην, ὁππόσοι λαοῖο πρόεδροι.

Fracto dolore per os talia passus sum,
Non possum capere intus iram, sed suscipite
Si quem & mordacem dicam sermonem, filium doloris,
Medicamentum doloris est, & aeri uerbum dicere,
Corpus magnum Christi, prætiosam gloriam regis,
Populus totius terræ regius, gens infida,
Erat cũ erat nunc rursus dei possessionem hinc & inde
Excutit, utque unda multifragi maris,
Aut planta robustis concussa uentis.
Populus hic, cui deus uenit a cœlesti sede,
Gloriam suam mortalibus in uisceribus exhauriens,
Et mixtus est hominibus, deus mortalis in unum collectus,
Et magnam utilitaté dedit passus corpore, sanguinéque diuinũ
Liberatiuum nostri uitii fudit, aliaque multa
Sacrificia posteaque sermones, qui disseminarunt omnibus,
Et dulcis mortis amaram manum offenderunt,
Vt uerbo honorarent uerbum deũ, sanguine autem sanguinẽ.
Quis agitat hoc corpus? unde tantum onus mihi quidem?
Quomodo autem sus solipascus meum offendit pomerium?
Quomodo luna tenebrosa tantam gloriam occultauit?
Rabidus, maleficus, quoniam hominibus inuidens
Ex eo adhuc, cum primum Adam eiecit e paradiso,
Vitaque immortali subducens noxio fructu,
Et multis, ualidisque concussionibus semper turbans,
Non ualuit ut cupiebat totum genus, suis dolis
Genuatim iacere, scintilla autem uerbi, & fax eleuata,
Omnem percurrit terram celebris, insecutores autem,
Et plus firmarunt præmiseris impactos.
Secundam excogitauit machinam dolosam, ut exercitũ nouit
Fortem, ducibus pernitiosam iniecit inimicitiam,
Etenim duce cadente, totus exercitus in terram uergit,
Mariuagusq; uero nauem malus, pnam statuit flatus,
Aut scopulis fregit, gubernatore sine.
Vt autem domosq;, urbesq;, choros, boues, currus, oues.
Læsit ignorantia gubernatoris, scientibus uerbum
Nostrum uitium, quicũq; populi præsides.

P rimum quidem homicidis fugæ urbes dispositæ erant,
E t regio quædam erat remissiciis sacrificiis,
Et quædam & amaritudinis & sanguinis postremis
D iebus, quod christi malisapi euacuarunt
Mercedem inhonorati malam & paruam habentes.
Minime qdem ex inuito, quoniam deus est imprensibilis
Manibus, cum uoluerit. uerum quidem euacuarunt.
N unc autem unum locum sciunt, pernitieiq́; mortisq́;
O mnes, quicúque hospites, & septi nostri,
V enerandum antea sapientum sedile, septum optimorum,
T ribunal hoc angelicis choris germinans,
C ancellum medium mundorum duorum, & manentis,
Et præter uolantis, deorum terminum, hominumque,
E rat cum erat, nunc rursus ridiculum, cum omnibus
I ntra inclausam portam cursus, ut uideor mihi
P reconem clamantem in mediis audire,
H uc agite quicúq; uitii conscensores, opprobria hominum,
V entrosi, latitendi, impudentes, superciliosi,
M eribibi, erronei, conuitiatores, delicati uestibus,
D eceptoresq́;. iniuriatores, celeriter peierationem iurantes,
P lebiuori, facultates in alienas intangibiles
I acientes manus, inuidi, dolosi, & infidi,
B landitores potentium humiles, humilibus leones,
Circumpositi, temporis uolubilis cultores
P olypodes, saxis assimilatico ore sermone,
N ouinubi, feruentes, adhuc florentes lanugine,
A ut furatores naturalis ignis, luminibus habentes
A ereum amorem, cum aperte fugeritis,
N aides cœlestium, nouiluci, flammantes
S piritu splendenti, conuenientis uitii,
H uc agite audaces, omnibus sedes lata parata est,
H uc agite dextris nouos inclinetis tendones.
O mnibus prompte, & non cupientibus distenti sunt
M anna rursus externus hymber, omnis finibus colligatis,
Qui plus, quiq; iminutum mea gratia. si uero uolueritis,
N eq; sancto parcatis deiformi diei ocioso,

Πρόσθε μὲν ἀνδροφόνοισι φυγῆς πτολίεθρα τέτακτο,
Καὶ χῶρός τις ἔην ἀποπομπαίοις θυέεσσι,
Καί τις καὶ πικρίης καὶ αἵματος ὑσταλέοισιν
Ἤμασιν, ὃ Χριστοῖο κακόφονοι ἐξεκένωσαν
Μισθὸν ἀτιμήτοιο κακοῦ καὶ τυτθὸν ἔχοντες.
Οὔτι μὲν ἐξ ἀέκοντος, ἐπεὶ θεός ἐστιν ἄληπτος
Χείρεσιν, οὔτ' ἐθέλησιν. ἀτάρ γε μὲν ἐξεκένωσαν.
Νῦν δ' ἄνα χῶρον ἴσασιν ἀτασθαλίης τε μόρου τε
Πάντες, ὅσσοι ξεῖνοί τε, καὶ ἕρκεος ἡμετέροιο,
Τὸ σεπτὸν τ' ἐπάροιθε σοφῶν ἕδος, ἕρκος ἀρίστων,
Βῆμα τὸ δ' ἀγγελικῇσι χοροστασίῃσι τεθηλὸς,
Κιγκλίδα τὴν μεσάτην κόσμων δύο, τοῦ τε μένοντος,
Τοῦ τε παραπταμένοιο, θεῶν ὅρον, ἡμερίων τε,
Ἦν ὅτε ἦν. νῦν αὖτε γελοίιον, ἦν ἵνα πᾶσιν
Ἐντὸς ἀκληΐστοιο θύρης δρόμος, ὥς δοκέω μοι
Κήρυκος βοόωντος ἐνὶ μεσάτοισιν ἀκούειν.
Δεῦρ' ἴθ' ὅσοι κακίης ἐπιβήτορες, αἶσχα φωτῶν,
Γαστέρες, εὐρυτένοντες, ἀναιδέες, ὀφρυόεντες,
Ζωροπόται, πλαγκταί, φιλοκέρτομοι, ἁβροχίτωνες,
Ψευσταί θ', ὑβρισταί τε, θοῶς ἐπίορκον ὀμοῦντες,
Δημοβόροι, κτεάτεσσιν ἐπ' ἀλλοτρίοισιν ἀάπτους
Βάλλοντες παλάμας, φθονεροὶ, δολόεντες, ἄπιστοι,
Θῶπες ἐρισθενέων, χθαμαλοὶ χθαμαλοῖσι λέοντες,
Ἀμφίθετοι, καιροῖο πολυτρέπτου θεράποντες,
Πουλυπόδες πέτρῃσιν ἐειδόμενοι χρόα μύθῳ,
Ἀρτίγαμοι, ζείοντες, ἔτι χνοάοντες ἴουλον,
Ἢ κλέπται φυσικοῖο πυρὸς, φαέεσσιν ἔχοντες
Ἠερίην φιλότητα, ὅτ' ἀμφαδίην ἀλέασθε,
Νηΐδες οὐρανίων, νεολαμπέες, αἰθαλόεντος
Πνεύματι αἰγλήεντι, συνερχομένης κακότητος.
Δεῦρ' ἴτε θαρσαλέοι, πᾶσι θρόνος εὐρὺς ἕτοιμος.
Δεῦρ' ἴτε δεξιτερῇσι νέους κλίνοι τε τένοντας,
Πᾶσι προφρονέως καὶ μὴ ποθέουσι τέτανται.
Μαίνα πάλιν ξεῖνος ὄμβρος, ἅπας κόλποισι λέγοι τε,
Ὅς πλέον, ὅς τ' ἐπιδευὲς ἐμὴν χάριν. εἰ δ' ἐθέλοι τε,
Μή δ' ἀγροῦ φείδοιτο θεουδέος ἤματος ἀργοῦ.

Ἢ τάχα καὶ παλάμῃσιν ἐν ἀπλήστοισι πύθοιτο.
Ξυνὸς μὲν πάντεσσιν ἀήρ, ξυνὴ δέ τε γαῖα,
Ξυνὸς δ' οὐρανὸς εὐρύς, ὅ τ' οὐρανὸς ὄμμασι φαίνει,
Ξυνὴ δ' αὖ πόντοιο χάρις, ξυνοί τε θόωκοι.
Θαῦμα μέγ', οὐδὲ Σαοὺλ χάριτος ξένος, ἀλλ' ὑποφήτης.
Μή τέ τις οἴῳ ἀροτὴρ, μὴ τέκτων, μὴ σκυτοεργός,
Μὴ θήρῃ μεθέπων, μή τ' ἔμπυρον ἔργον ἐλαύνων,
Τῆλε μένοι, μὴ δ' ἄλλον ἔχοι σημάντορα θεῖον.
Κρεῖσσον γὰρ κρατέειν, ἠὲ κρατέοντι πιθέσθαι.
Ἄλλος μὲν ἐκ χειρῶν πέλεκυν μέγαν, ὃς δ' ἄρ' ἐχέτλην
Ῥίψας, ὃς δὲ δορήν, ὃς δούρεα, ὃς δὲ πυράγρην,
Ἔνθαδ' ἴσοι, θείην δὲ παρ' ἀθλίβοισθε τράπεζαν,
Στεινόμενοι, στεῦντες, ὁ δ' ἄλκιμος ἄλλον ἐλαύνοι.
Πολλάκι καὶ τὸν ἄριστον ἐνιδρυνθέντα θρόνοισι
Γηραιόν, στέρκεσσί τε ζυμένον, οὐρανοφοίτην,
Κόσμον ἀτιμάζοντα, θεοῦ μέτα μοῖραν ἔχοντα,
Καὶ νέκυν ἐν ζωοῖσι, θυηπόλον ἐσθλὸν ἄνακτος.
Εἰκὼ μέν τις ἔγραψεν ἀπ' εἰκόνος ἀρχετύποιο
Στησάμενος προπάροιθε, πίναξ δ' ὑπεδέξατο μορφήν.
Ὑμᾶς δ' εἰσορόων τις, ἐναντίον οἷμον ὁδεύοι.
Καὶ τόδε μοῦνον ὄνειαρ ἀφ' ὑμετέρης κακότητος.
Κῆρυξ μὲν δὴ τοῖα βεβήλοις. αὐτὰρ ἔγωγε
Δείδια μὲν Μωσῆος ἀγακλέος οἷον ἄκουσα,
Ὃς μοῦνος νεφέλης εἴσω θεὸν ἔδρακεν αὐτήν,
Τοὺς δ' ἄλλους ἐκέλευσεν ἀπὸ προπόδεσσι μένοντας,
Ἁγνοτάτους ἁγνοῖσιν ἐν εἵμασι καὶ ζομέοντας,
Μούνης εἰσαΐειν θείης ὀπός. οὐ γὰρ ἄμεινον
Οὐδ' αὐτοῖς θήρεσσι πατεῖν πέδον οὐρανίοιο,
Μὴ καὶ ῥηγνυμένοισιν ἀπὸ σκοπέλοισι δαμεῖεν.
Δείδια δ' αὖ παίδων Ἀαρὼν μόρον, οἳ ῥα θυηλὰς
Θέντες ὑπὸ ξείνοιο πυρός, ξείνως καὶ ὄλοντο.
Αὐτίκα καὶ θυέων χῶρος θανάτοιο τελέσθη.
Καὶ παῖδές περ ἐόντες Ἀαρὼν μεγάλοιο, δάμασθεν.
Ὣς δὲ καὶ Ἠλείδῃσιν ἐπέχραε λυγρὸς ὄλεθρος.
Ἠλείδαις, ὅτι μάργον ἔχον νόον. ἢ γὰρ ἔβαλλον
Ὀγχιδράς παλάμαις ἱερῶν καθύπερθε λεβήτων.

V el fortasse & palmis in insatiabilibus audiat.
C õmunis quidem omnibus aer, communisq; terra,
C õmune etiã cœlum latum, quæq; cœlum oculis ostendit,
C õmunisq; rursus ponti gratia, cõmunesq; sedes,
Miraculum magnum, neq; Saul gratiæ hospes, sed minister,
N ullus igitur arator, non faber, non solearius,
N on uenationem exercens, neq; igneum opus agitans,
L onge maneat. neque alium habeat rectorem diuinum.
Melius est enim imperare, quam imperanti parere.
Sed hic qdem e manibus securim magnam, ille aũt stiuam
I aciens, ille uero pellem, hic ligna, ille uero forcipem,
H uc ueniat, diuinam uero circũteratis mensam,
C onstipati, constipantes, fortis autem alium abigat.
Sæpe etiam optimum insudantem sedibus
Senem, carnibus attritum, cœliuagum,
Mundum spernentem, cum deo sortem habentem.
E t mortuum inter uiuos sacerdotem bonum regis
I maginem qdem quis pinxit ab imagine archetypa
S tatuens ante. tabella autem suscepit formam.
V os autem inspiciens quis. contrariam uiam uadat.
E t hanc solam utilitatem a uestro uitio.
P reco quidem talia. grauiclamus. uerum ego sane
T imeo quidem Mosem gloriosum ut audii.
Qui solus nubem intra deum uidit ex aduerso,
A lios uero iussit sub radicibus manentes.
Purissimos puris in uestibus & quietos.
S olam auscultare diuinam uocem. non enim melius
N eque ipsis feris calcare solum cœlestis.
N e & fractis sub scopulis domitentur.
T imeo uero rursus filiorum Aaron mortẽ q certe sacrificia
P onentes in externo igne. extraneę, & perierunt.
S tatim & sacrificiorum locus mortis effectus est.
E t quãuis filii existentes Aaron magni. domiti sunt.
V t autem & elidis irrupit molesta pernities.
E lidis quoniam uoracẽ habebant mentem, qppe enĩ iaciebãt
N on sacras manus sacris desuper ahenis,

N eque uero neque eli iram fugit. sed & ipsum
N on sanctus uenter filiorum iminuit iustum
Quamuis semper grauem iurgatoriis uerbis.
S i uero tanta talibus peccatis ira inest,
Quantæ timor est in pluribus malis,
E t te arcam reginam, qui fundauit manu prophana
Inclinatam, mortuus est statim, dei uero templum posuit
Intactum manibus, munimentaq; extra parietes,
Quapropter lugeo, cado autem sub tuis pedibus
C hriste rex, ne mihi aliquis occurrat dolor
C edenti, defeci lupis læsoribus gregis,
P astoribus pugnans longũ tempus, e membris autem
C uruis, euolauit animus, respiro autem parum quid.
V exatus laboribus, & opprobriis nostris,
Quoꝝ alii qdem, pro sedibus sacris certamen habentes,
A duerse fluctuantes, frequentibus malis
I actati iactantes, indomiti sunt pugnatores,
P acem clamantes. in sanguine gloriantes,
V t utinam gethæum explerent dolorem,
I udicialem, sedilem, in sede ultionem habentes.
H i igitur his utrinq; partiti, uolutant,
O rtumq; occasumq;, deus autem in carnes desiit,
A quibus pugnantibus, & nomen & bellum aliis
P aulus meus, P etrus uero tuus, illius uero A pollos
S unt dii, Christus autem frustra clauis confixus est.
N on enim a Christo uocamur, ex hominibus autem,
I llius & manibus & sanguine gloriam habentes.
T antus amor lumina obnubilauit nostra,
A ut gloriæ inanis, aut possessionis, aut inuidia grauis,
L iquator gaudi malus, ominosum dolorem habentibus.
E t prætextus est trinitas. uerum autem, inimicitia infida.
D uplex est unusqsq;, ouis lupum circũocculens,
E t æs seruans amaram piscibus escam.
T alia quidem duces, sequitur autem prope populus.
P rompti in uitium, & duce sine,
N eq; ulla est boni distinctio, neq; mali,

Οὐδὲ μὲν οὐδ' Ἠλεὶ χόλον ἔκφυγεν, ἀλλὰ καὶ αὐτὸν
Οὐχ ὁσίη γαστὴρ παίδων ἐχάλεψε δίκαιον,
Καίπερ ἀεὶ βρίσαντα ὀνειδείοις ἐπέεσσιν.
Εἰ δὲ τόσην κρίησιν ἁμαρτάσι μῆνις ἕπεσιν,
Ὅσσα τίνος δέος ἐστὶν ὑπὲρ πλεόνεσσι κακοῖσι,
Καὶ σὲ κιβωτὸν ἄνασσαν, ὃς ἥδρασε χειρὶ βεβήλῳ
Κλινομένην, θανέειν αἶψα, θεοῦ δέ τε νηὸν ἔθηκεν
Ἄψαυστον παλάμῃσιν, ἐρείσματα τἄκτοθι τοίχων,
Τοὔνεκεν αἰάζω, πίπτω δ' ὑπὸ σεῖο πόδεσσι
Χριστὲ ἄναξ, μή μοι τις ἀπαντήσειεν ἀνίη
Χαζομένῳ. κέκμηκα λύκοις δηλήμοσι ποίμνης,
Ποιμέσι μαρνάμενος δηρὸν χρόνον. ἐκ μελέων δὲ
Ῥικνῶν ἔπτατο θυμός. ἀναπνείω δ' ὀλίγον τι
Τειρόμενος καμάτοισι, καὶ αἴσχεσιν ἡμετέροισιν.
Ὧν οἱ μὲν, θώκων ἱερῶν πέρι δῆριν ἔχοντες,
Ἀντία κυμαίνοντες, ἐπασσυτέροισι κακοῖσι
Βαλλόμενοι, βάλλοντες, ἀπειρέσιοι εἰσὶ μαχηταὶ,
Εἰρήνην βοόωντες, ἐφ' αἵματι κυδιόωντες,
Ὡς ὄφελον γελθαίαν ἀναπλήσαιεν ἀνίην,
Ἔνδικον, ἑδρήεσσαν, ἐφ' ἕδρῃ τίσιν ἔχοντες.
Οἱ δ' ἄρα τοῖς ἑκάτερθε μεριζόμενοι, κλονέουσιν
Ἀντολίην τε δύσιν τε, θεὸς δ' ἐς σάρκας ἔληξεν.
Ὧν ἄπο μαρναμένων, καὶ οὔνομα καὶ μόθος ἄλλοις.
Παῦλος ἐμὸς, πέτρος δὲ τεὸς, κείνου δέ τ' ἀπολλῶς
Εἰσὶ θεοί. χριστὸς δὲ μάτην ἥλοισι πέπαρται.
Οὐ γὰρ ἀπὸ χριστοῖο καλούμεθα, ἐκ μερόπων δὲ,
Κείνου καὶ χείρεσσι καὶ αἵματι κῦδος ἔχοντες.
Τόσσος ἔρως φαέεσσιν ἐπήχλυσεν ἡμετέροισιν,
Ἢ δόξης κενεῆς, ἢ κτήσιος, ἢ φθόνος αἰνὸς,
Τηκεδανὸς, κακόχαρτος, ἐναίσιμον ἄλγος ἐχθροῖς.
Καὶ πρόφασις τελαὸς ἐστί. τοῦ δ' ἀξενὲς, ἔχθος ἄπιστον.
Διπλόος ἐστὶν ἕκαστος, ὅις λύκον ἀμφικαλύπτων,
Καὶ χαλκὸς λοχόων πικρὴν νεπόδεσσιν ἐδωδήν.
Τοῖα μὲν ἡγητῆρες, ὁ δ' ἕσπεται ἐγγύθι λαός.
Πρόφρονες ἐς κακίην, καὶ ἡγητῆρος ἄνευθεν.
Οὐδέ τις ἐστ' ἀγαθοῖο διάκρισις, οὐδὲ κακοῖο,

Οὐ πινυτῆς πολιῆς, οὐκ ἀφραδέος νεότητος,
Οὐ μογεροῦ βιότοιο θεουδέος, οὐ μαλακοῖο.
Εἷς νόμος οὗτι, κάκιστον ἔχειν πλέον. ὡς ἀπόλοιτο
Κεῖνος ἀνήρ, ὃς πρῶτος ἀνήγαγεν ἐνθάδ' ἀλιτρούς.
Αὐτῶν κόσμος ἔοι, αὐτῶν θεός, ὅσσά τ' ἀρίστοις
Ἕσπεται ὑστατίοισιν ἐν ἤμασιν ἀμφιτάλαντα.
Οἱ δ' ἀγαθοί, μογέοιεν ἐπώσια. τοῖα δικασταῖς
Εὔαδεν ἢ μετόροισι. δίκη φυγὰς ἔνθεν ἀπέλθοι.
Ἓν δ' ἄρα πάντα πέλοι, χρυσός, βροτός, ἥλιος, ἀστήρ,
Φῶς, σκότος, ἄγγελος ἐσθλός, ἑωσφόρος, οὐκέτι λάμπων.
Πέζῳ δ' ἶσα φέροιτο θεοκτόνος Ἰσκαριώτης,
Καὶ Σολύμοις ἱεροῖσιν ἀλιτροτάτη Σαμάρεια.
Ἶσα δ' ἔχοι χρυσός τε καὶ ἄργυρος, ἠδὲ σίδηρος.
Μάργαρος ὀκρυόεντι λίθῳ, πηγαῖς δὲ χαράδραι.
Πάντα δ' ἄμ' ἀλλήλοισι πεφυρμένα εἰς ἓν ἄγοιτο,
Ὥς ποτ' ἔην, ὅτε κόσμος ἔην πρωτόκτιστος ὕλη,
Κόσμον ἔτ' ὠδίνουσα διακριδὸν οὐ βεβαῶτα.
Ἦν δ' ὅτε Μωαβίταις νηὸς μέγας οὐ βατὸς ἦεν,
Οὐδὲ μὲν Ἀμμανίτῃσιν, ἐπεὶ στρατὸν ἤκαχον ἠΰν.
Ἄλλους δ' ὑδροφόροισιν ἐνείθμησεν Ἰησοῦς,
Καὶ ξυλοφορτηγοῖσιν, ἐπεί ῥά μιν ἐξαπάφησαν.
Ταῦτα κακοῖς. Λευὶ δὲ γόνον μεγάλοιο γέρηραν.
Σκηνῆς γάρ μιν ἔθηκαν ἐπουρανίης θεράποντα.
Κἀνθάδ' ὅροι θυέων τε, καὶ οὔδεος, ἠδὲ πόνοιο.
Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ χέρας εἶχον ἐπ' ἔργοις,
Ὅσσα τ' ἔην νηοῖο καὶ ἔκτοθεν ἐγκονέοντες.
Κεῖνοι μὲν τοίοισι νόμοις ἀρετῆς προμάχιζον.
Ἡμεῖς δ' αὖ κακίῃ γέρα θήκαμεν. ὢ θανάτοιο.
Τίς τάδε θρηνήσειε γόων πολυΐδριος ἀοιδός;
Σχέσθε φίλοι. λήξωμεν ἀτασθαλίῃ μογέοντες.
Αὐτὰρ ὃ, καὶ νέκυσσι θάνεν, καὶ ζῶσιν ἀναστὰς,
Χριστὸς ἄναξ ἀναφανδὸν ὁμίλεεν οἷς ἑτάροισι.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂ ΘΑΎΜΑΤΑ ΚΑΤᾺ ΛΟΥΚΑ͂Ν.

Ουκᾶς δ' ἄλλα δὶς ἑπτὰ θεοῦ τάδε θαύματ' ἔγραψε
λ Παύλῳ, θαρσαλέος χριστοῦ μεγάλῳ θεράποντι.
Δαίμονα, καὶ πυρετὸς, καὶ λέπρην, καὶ παραλυτοῖο,
Εἶξε λόγῳ. καὶ χεὶρ τείνατο καρφαλέη.
Εἶθ' ἑκατοντάρχοιο λελυμένον ἤδρασε παῖδα.
Χήρης τ' ἐκ νεκύων ἐν Ναῒμ υἷα πόρε.
Τὴν δὲ μύρῳ χρίσασαν ἁγνοὺς πόδας, ἥγνισε μύθῳ.
Καὶ στῆσεν ἀνέμους, καὶ λεγεῶνα μέγαν.
Αἵματος ἔσχε ῥύσιν, καὶ Ἰαείροιο θύγατρα
Ἤγαγεν ἐς ζωήν. πέντε δ' ἄρ' ἐξ ἀκόλων
Καὶ δύο ἰχθυδίων, ἐν ἐρήμῳ πέντε περ τ' ἀνδρῶν
Θρέψεν χιλιάδας. εἴδεος ἧκε σέλας.
Δαίμονα τηλυγέτοιο πικρὸν ἀπόεργαθε παιδός.
Καὶ τὸν ἰθὺ γλάφατης ἤμυνον. ὡς δὲ πάλαι
Ἑβραίην συναγωγῇ νούσῳ κλίναντα γυναῖκα,
Ναὶ μὴν καὶ ὕδρωπος ὄγκον ἀπεσκέδασε.
Καὶ λεπροὺς ἐκάθηρε δέκα. τῶν, εἷς σαμαρείτης.
Τυφλῷ τ' ἐξ ἱεριχοῦς φάος ὤρεν εἰνοδίῳ.
Οὖατά τ' ἀποψύχοντος ἴδον σημήϊα χριστοῦ.
Ἠδ' ὡς ἐκ νεκύων οἷσι φίλοισι φάνη.

EIVSDEM MIRACVLA SECVNDVM IOANNEM.

P Auca autem Ioannis disces sacro in libro
Miracula sane, multos autem sermones Christi Regis.
Erant nuptiæ, pincernæ aūt fundebant ex aqua uinum,
D ixit, & filius sine morbo fuit ægrotans reguli,
D ixit, lectum autem sustulit, qui non fugit uincula balneis
Quinq; deinde panum fecit ostentum, inde gradiebatur
M are efferuens, & seruauit discipulos.
C æcum autem a natiuitate curauit lutu ungens.
T ertius dies erat, & Lazarus excitatus est e sepulchro,
V erum hic & ob mortuos periit, & uiuentibus resurgens
C hristus rex manifeste conuersabatur suis sociis.

EIVSDEM MIRACVLA SECVNDVM LVCAM.

l Vcas uero alia bis septem dei hæc miracula scripsit
Paulo, fidens Christi magno seruo,
D æmon, & febris, & lepra, & paralysis,
Cessit uerbo, & manus extensa est sicca,
D einde Centurioni solutum firmauit filium,
Viduæque a mortuis in Naim filium præbuit,
V nguento autem ungentem sanctos pedes, lustrauit uerbo,
Et firmauit uentos, & legionem magnam.
S anguinis cohibuit fluxum, & sacerdotis filiam
Duxit in uitam, quinq; autem ex panibus
E t duobus pisciculis in solitudine olim quinq; uirorum
Aluit millia, speciei emisit lucem,
D æmonem a Caro amarum prohibuit puero,
Et qui in lingua sedebat, ut autem iam diu
H ebræam odioso morbo acclinantem mulierem,
Quippe etiam & hydropis tumorem dissipauit,
E t leprosos expurgauit decem, quorum unus Samarita,
Cæcoq; ex hierico lucem præbuit uiario,
Quæcūq; morientis uiderunt signa Christi,
Atque ut a mortuis suis amicis apparuit,

124

EIVSDEM PARABO-
LAE PER IAMBOS.

P Rouerbiorum autem Lucas mentionem fecit tot,
Eius qui posuit sedem tutam supra petram,
Et eius qui passus erat bene plus, & plus
A mantis, deinde seminis in quatuor
N aturas cadentis terræ, deinde uiatoris
Prædonibus incidentis, deinde intempesta ad fores
P rofectus quis petit, & non mala accipit.
I mpurus deinde spiritus uero introducitur
S eptem cum aliis, & frustra quis spebus
F ructuum delectatus est, ignorans quo stabit.
E nuptiis autem uenienti, uigilandum est
C hristo, beneq; seruitio utendum.
F icumq; sterilem stercoribus adiuuare
S inapi, fermentumq;, & pauperes in nuptiis,
Gaudiumque drachmæ inuentione, & pecoris,
Paterque puerorum cadenti compatiens,
D einde dispensator aliquid debitorum largitur
F urum prouidenter, Lazarus & diues.
I nde uiduæ rogatio ualida.
D einde rursus publicanus, & pharissæi superbia,
E t minarum partitio, æqualis numero decem,
Mali agricolæ, & interemptores domini.

CHRISTI MIRACVLA
SECVNDVM MARCŪ.

A rcus uero ausoniis dei hæc miracula scripsit
m Petro fidens Christi magno seruo.
Dæmon, & febris, & lepra, & resolutio membrorum
C essit uerbo Christi, postea uero, manus extensa est
Sicca, & uentorum desiit furor atque maris,
E t legio cessit, & sanguinolentum sedauit
F ontem, & filiæ uitam præbuit Iairi.
Quinque uero panibus, multi alti sunt, inde uinxit
P ontum superambulans, post uero spiritum expulit
A Phœnissa, Tyriis ostentum & Sidoniis,

ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΑΒΟΛΑΙ ΔΙ' ΙΑΜΒΩΝ.

Ἀροιμιῶν δὲ Λουκᾶς ἐμνήσθη τόσων,
π Τοῦ θέντος ἕδραν ἀσφαλῆ πέτρης ὕπερ,
Καὶ τοῦ παθόντος εὖ πλέον, καὶ τὸ πλέον
Στέργοντος. εἶτα τοῦ σπόρου εἰς τέσσαρας
Φύσεις πεσόντος γῆς. ἔπειθ᾽ ὁδοιπόρου
Λῃσταῖς πεσόντος. εἶτ᾽ ἀωρὶ πρὸς θύρας
Ἐλθόντος αἰτεῖν, κοὐ πονηρὰ λαμβάνειν.
Ἀκάθαρτον εἶτα πνεῦμα δ᾽ εἰσοικίζεται
Ἑπτὰ ξὺν ἄλλοις. καὶ μάτην τις ἐλπίσι
Καρπῶν γέγηθεν, ἀγνοῶν οἷ στήσεται.
Ἐκ τῶν γάμων δ᾽ ἥκοντι, γρηγορητέον
Χειστῷ. καλῶς τε τῇ θεραπείᾳ χρηστέον.
Συκῆν τ᾽ ἄκαρπον ταῖς κόπροις ἐπωφελεῖν.
Νάπυ. ζύμη τε. καὶ πένητος ἐν γάμῳ.
Χαρά τε δραχμῆς εὑρέσει, καὶ θρέμματος.
Πατήρ τε παίδων τῷ πεσόντι συμπαθής.
Εἶτ᾽ οἰκονόμος τις τῶν χρεῶν χαρίζεται
Κλεπτῶν προμηθῶς. Λάζαρος καὶ πλούσιος.
Ἐκεῖθε χήρας ἀξίωσις εὔτονος.
Εἶτ᾽ αὖ τελώνης, καὶ φαρισαίου τύφος;
Καὶ μνῶν μερισμὸς, ἰσάριθμος τοῖς δέκα.
Κακοὶ γεωργοὶ καὶ φονεῖς τοῦ δεσπότου.

ΤΑ ΧΡΙΣΤΟΥ ΘΑΥΜΑΤΑ ΚΑΤΑ ΜΑΡΚΟΝ.

Ἄρκος δ᾽ αὐσονίοισι θεοῦ τάδε θαύματ᾽ ἔγραψε,
μ Πέτρῳ θαρσαλέος Χριστοῦ μεγάλῳ θεράποντι.
Δαίμων, καὶ πυρετὸς, καὶ λέπρα, καὶ παραλυτὸς
Εἶξε λόγῳ Χριστοῦ. μετέπειτα δὲ, χεὶρ ἐτανύσθη
Ξηρή. καὶ ἀνέμων λῆξε μένος, ἠδὲ θαλάσσης.
Καὶ λεγεὼν ὑπόειξε, καὶ αἱμαῤῥέουσαν ἔπαυσε
Πηγὴν, καὶ θυγατρὶ ζωὴν πόρεν Ἰαείροιο.
Πέντε δ᾽ ἄρ᾽ ἐξ ἄρτων, πολλοὶ τράφεν. ἔνθεν ἔδησε
Πόντον ἐπιστείβων. μετέπειτα δὲ, πνεῦμ᾽ ἐδίωξε
Φοινίσσης, τυρίοισι πέρας καὶ σιδονίοισι,

Κωφόν τ' οὐ λαλέον. θρέψεν πάλιν ἐπτ' ἀκόλοισιν
Ἀνδρῶν χιλιάδας. καὶ τυφλὸς ἴδεν φάος. εἶτα
Καὶ μορφῆς ἀπέπεμψε σέλας, καὶ δεσμὸν ἔλυσε
Γλώσσης πνεῦμ' ἐλάσας. Βαρτιμαῖός τε φάος δὲ
Τυφλὸς ἐξ ἰδριχοῶντος ἐσέδρακεν. ὡς δὲ ἄκαρπον
Εὗρε συκῆν χαιτέων, νεκρὰν ἔθηκε λόγῳ.
Τυφλοὺς δ' αὖ χωλούς τε ἰήσατο ἐγγύθι νηοῦ.

ΠΑΡΑΒΟΛΑῚ ΤΩ͂Ν ΤΕΣΣΆΡΩΝ ΕὐΑΓΓΕΛΙΣΤΩ͂Ν.

Εἴδω μὴ βιότοιο θεμείλιον ἐν ψαμάθοισι
Βαλλόμενος, ποταμοῖσι καὶ ἐν ἀνέμοισι κεδασθῶ.
Ἢ σπόρος ὡς ἐπὶ γαῖαν ἰὼν ξηρὴν καὶ ἄκαρπον,
Ὦκα μὲν ἀντείλαιμι, τάχιστα δὲ αὖος ἔοιμι
Ἠελίοιο βολῇσι τυπείς, καὶ πήμασι τυτθοῖς.
Ἢ με φάγοι πετεηνά, καὶ ἐκθλίψειαν ἄκανθαι.
Μὴ δέ μοι ὑπνώοντι κακὸν σπόρον ἐγκαταμίξῃ
Ζιζανίων ἀρότης τε κακῶν, καὶ βάσκανος ἐχθρός.
Μὴ δ' ἄρ' ὁμοῦ χλοάουσι βαλὼν ἐπὶ χεῖρα φυτοῖσιν
Ἐσθλοῖς ἠδὲ κακοῖσι, πρὶν ἐν σταχύεσσι σταθῆναι,
Σύν που ζιζανίοισι καλὸν φυτὸν ἐξολέσαιμι.
Γαιάων γὰρ τοῖσδε νοήμονα χεῖρ' ἐπιθεῖναι,
Ἔνθ' ἀρετὴ κακίη τε διάνδιχα ναιετάουσαι,
Ἀγχίθυροι γεγάασι. κακὸν δ' ἐπιτέλλεται ἐσθλῷ.
Αἰνῶ τὸν ὀλίγον νάπυος σπόρον, ὃς ὀλίγος μὲν,
Δενδροῦται δὲ τάχιστα, καὶ ἐς τόσον ὕψος ὀδεύει,
Ὥς τε καὶ ὀρνίθεσσι πέλειν σκέπας ἠερίοισι.
Μάργαρε τιμήεις καὶ κύδιμε, σοῦ δ' ἄρ' ἔγωγε
Κάλλεος ἱμείρων, μέγας ἔμπορος αἴθε γενοίμην.
Πάντων δ' ὅσσα μοι ἐστὶ μέχρις πυμάτοιο χιτῶνος,

Surdumq; non loquentem. aluit rursus septem panibus
Virorum millia, & cæcus uidit lucem. deinde
Et formæ remisit splendorem & uinculum soluit
Linguæ, spiritum agens, Bartimæusq; lucem
Cæcus ex Hierichunte uidit. ut autem sterilem
Inuenit ficum indigens, mortuam fecit uerbo.
Cæcos uero rursus, claudosq; curauit prope templum.

PARABOLAE QVATVOR EVANGELISTARVM.

t Imeo ne uitæ fundamentum in arenis
Iaciens, fluuiis & a uentis dissiper
Vel semen ut in terram ueniens siccam & sterilem,
Celeriter quidem exoriar, celerrime autem siccus sim
Solis iactibus percussus, & damnis paruis.
Aut me edant uolatilia, & atterant spinæ.
Neq; mihi dormitanti malum semen imisceat
Zizaniorum, aratorq; malorum, & inuidus inimicus.
Neq; uero simul uirentibus iniiciens manum plantis
Bonis, atq; malis prius, q̃ in spicis stet,
Cum zizaniis forte pulchram plantam perdam.
Paucorum enim est huiusmodi intelligentē manū imponere,
Vbi uirtus uitiunque bipartito habitantes,
Propinqui fores natæ sunt, malum autem exoritur bono,
Laudo paruum sinapis semen, quod paruum quidem,
Arborescit autem celerrime, & in tantam altitudinē ꝓficiscitur
Vt & auibus sit tegumentum aeriis.
Margarita pretiosa & gloriosa, tuam uero ego quidem
Pulchritudinem desyderās magnus mercator utinam fiam,
Omnium autem quæcūq; mihi sunt usque ad extremā tunicā,

126

V enalem prendam caram facultatem, ut omnes
D iuitiis superem, possidens tanq̃ ab aliis,
A ut thesaurum agri latebris in absconsum existentem,
S cio ego & mundum intro cadentem rete.
Cui Christi regis subministrans præceptis,
H ominum piscatores suum filum circumposuerunt,
V t maris extrahant profunditatibus, præbeant aūt Christo.
Natantes amaris in undis huius uitæ,
S ed cum iudicaueris marinam, in duas partes seces,
N e me longe abieceris, inutilem ueluti piscem,
V asibus autem impone seruatum regi,
I n magnam autem dei pulchram pululans uineam,
M atutinus quidem ueni, & plus laboris toleraui,
M ercedem autem ultimis æquam, & gloriam habeam,
Quæ inuidia, si laboribus desyderium deus opponit?
M itte pater filios ad uitem, ut alant,
Priorem prius, hic uero promptus excepit,
Non tamē pfecit patris desyderiū, quēadmodū pollicitus est,
A t hic non suscepit, & perfecit mandatum
I unior, præstantior quidem mihi, dulcior autē parenti,
A mborum, qui excepit, & perfecit desyderium,
Hæredem autem perderent, quicūq; ignis, extrauineam
S unt nuptiæ, quas filio pater carus bonus optimo
E pulatur lætabundus, his occurram ego sane,
H is ego occurram, & qui amicus est mihi quidem,
Maneat autem extra ille. quisq; ante nuptias ponit,
A ut agrum, aut boum iugum nouum, aut uxorem.
N eq; in conuiuiis nuptialem speciem habentibus,
V estes habens sordentes, uinctus manusq;, pedesq;,
Cubiculiq;, nuptiarumq;, amicorum a longe cadam,
Cum autem accensis sanctarum decas in facibus
V irgines uigilantes, insedatis luminibus
S ponsum desyderabilem deum expectent regem,
V t splendide nitenti occurrant uenienti,
N e me inter uacuas mente, & fatuas posueris,
Neq; infirmum facum lumen oculis spectans,

Ὤνιον αὐτίκα λάβοιμι φίλον κτέαρ, ὥς κεν ἅπαντας
Πλούτῳ νικήσαιμι, πεπαμμένος οἷον ἀπ' ἄλλων,
Ἢ θησαυρὸν ἀγροῖο μυχοῖς ἔνι κρυπτὸν ἐόντα.
Οἶδα δ' ἐγὼ καὶ κόσμον ἔσω πίπτοντα σαγήνης,
Ὣς Χριστοῦ βασιλῆος ὑποδρήσσοντες ἐφετμαῖς,
Ἀνθρώπων ἁλιῆες ἑὸν λίνον ἀμφὶς ἔθηκαν,
Ὡς ἁλὸς ἐξερύωσι βυθῶν, ὀπάσωσι δὲ Χριστῷ
Νηχομένους πικροῖς ἐνὶ κύμασι τοῦδε βίοιο.
Ἀλλ' ὁπόταν κείνης ἁλίῳ, διαύδιχα τέμνης,
Μή μ' ἀπὸ τῆλε βάλοις, ἀχρήϊον οἷά περ ἰχθύν.
Ἄγγεσι δ' ἐγκατάθειο φυλασσόμενον βασιλῆϊ.
Ἐς μεγάλην δὲ θεοῖο καλὴν ἐριθηλέ' ἀλωὴν,
Ἠῶος μὲν ἔβην, καὶ πλείονα μόχθον ἀνέτλην.
Μισθὸν δ' ὑστατίοισιν ἶσον, καὶ κῦδος ἔχοιμι.
Τίς φθόνος, εἰ μόχθοισι πόθον θεὸς ἀντιφερίζει;
Πέμπε πατὴρ υἷας ἐς ἄμπελον, ὡς κομέοιεν,
Τὸν πρότερον, πρότερον. ὁ δ' ἄρα πρόφρων ὑπέδεκτο,
Οὐ μὴν ἐξετέλεσσε πατρὸς πόθον, ὥσπερ ὑπέστη.
Αὐτὰρ ὅ γ' οὐχ ὑπέδεκτο, καὶ ἐξετέλεσσεν ἐφετμὴν
Ὁ πλότερος. κρείσσων μὲν ἐμοὶ, γλυκίων δὲ τοκῆϊ
Ἀμφοτέρων, ὃς ἔδεκτο, καὶ ἐξετέλεσσεν ἔελδωρ.
Κληρονόμον δ' ὀλέσειεν, ὅσοι πυρὸς, ἐκτὸς ἀλωῆς.
Ἔστι γάμος, τὸν, παιδὶ πατὴρ φίλος ἐσθλὸς ἀρίστῳ
Δαίνυσι καγχαλόων. τοῦ δ' ἀντιάσαιμι ἔγωγε.
Τοῦ δ' ἐγὼ ἀντιάσαιμι, καὶ ὅς φίλος ἐστὶν ἐμοί γε.
Μίμνοι δ' ἔκτοθι κεῖνος, ὅς τις πρὸ γάμοιο τίθησιν
Ἢ ἀγρὸν, ἠὲ βοῶν ζεῦγος νέον, ἠὲ δάμαρτα.
Μὴ δ' ἐνὶ δαιτυμόνεσσι γαμήλιον εἶδος ἔχουσιν,
Εἵματ' ἔχων ῥυπόωντα, δεθεὶς χεῖράς τε πόδας τε,
Νυμφῶνός τε, γάμου τε, φίλων τ' ἄπο τῆλε πέσοιμι.
Ἡνίκα δ' αἰθομένῃσιν ἁγνῶν δεκὰς ἐν δαΐδεσσι
Παρθένοι ἐγρήσσουσιν, ἀκοιμήτοις φαέεσσι
Νυμφίον ἱμείροντα θεὸν δοκέωσιν ἄνακτα,
Ὡς λαμπραὶ γανόωντι ὑπαντήσωσιν ἰόντι,
Μή μ' ἐνὶ ταῖς κενεῇσι νόον, καὶ ἄφροσι θείης,
Μὴ δ' ὀλιγοφραγέον δαΐδων σέλας ὄμμασι λεύσσων,

Ἤδη που χρυσοῖο πεπειρασμένου μογέουσα,
Ὀψεφαοῦς ζωῆς ὑγρὸν ποθέοιμι ἔλαιον.
Μὴ δέ με κληϊσθέντα γάμου ὤσειε θύρετρα,
Ἔνθα λόγος καθαρῆσι πόθου μεγάλοιο ὑπὸ δεσμοῖς
Μιγνύμενος κραδίαις θάρσος καὶ κῦδος ὀπάζει.
Ἐκ δὲ γάμου παλίνορσος ἄναξ ἐμὸς οὔτ' ἂν ἐπέλθῃ,
Ἐξαπίνης δοκέουσι καὶ οὐ δοκέουσιν ἐπιστάς,
Εὕροι μ' ἐν δοκέουσι, καὶ αἰνήσειε φόβοιο
Ὡς ἀγαθὸν θεράποντα, καὶ ἤπιον ἀρχομένοισι.
Καὶ σίτοιο δοτῆρα, λόγου στερεοῖο φέριστον.
Σχιζομένων τ' ἐρίφων καὶ οἰῶν ἤματι πικρῷ,
Ἀνδρῶν δυσσεβέων τε καὶ οὐχ ὁσίων ἑκάτερθεν,
Στήσαις μή μ' ἐρίφοις ἐναρίθμιον, ἀλλ' οἴεσσι
Δεξιτερὴν παρὰ χεῖρα. μένοιτ' ἐνὶ χείρεσι λαιή.
Λύχνος δή τις ἔμοιγε φαεσφόρος ἔκποθι λάμποι
Λυχνίης καθύπερθε. καλὸν δέ τι καὶ θεὸν οἷον
Ἴδμεναι, ὃς πάντεσσιν ἐπίσκοπον ὄμμα τίθησιν.
Αἰεὶ δὲ στέργοιμι θεὸν πλέον, εἴτε τι πικρὸν,
Εἴτ' ἀγαθὸν προέχοι. πᾶν γὰρ καλόν. εἰ δὲ τυπείην
Ληϊσταῖς, μεγάλης κατιὼν ἀπὸ χριστοπόληος,
Μή με λίποις χείρεσσιν ὑπ' ἀνδροφόνοισι δαμῆναι.
Εἰ δὲ πνεῦμ' ἐλάσεις ψυχῆς ἄπο, μηκέτ' ἀέθλων
Εὑρὼν τὴν πλεόνεσσι καταδράμοι ἐχθρὸς ἐμεῖο.
Μηδὲ συκῆν ὀλέσειας ἀχρήϊον, ἀλλ' ἔτι καρπὸν
Ἔλπεο, μηδὲ τέμῃς μιν ἄναξ. κομέων δέ τ' ἐγείρειν
Δραχμήν τε, πρόβατόν τε, πάϊν τ' ἀπὸ πάντ' ὀλέσαντα,
Εὑρὼν, τὴν μὲν, ἔραζε, τὸ δ' οὔρεσι, τὸν δ' ὑπὸ ποσσὶν
Οἰκτρὸν ὑποστρέψαντα πατρώϊον ἐς δόμον. ὦναξ,
Αὖθις ἀριθμήσειας ἐν υἱάσι, θρέμμασι, δραχμαῖς.
Μὴ δ' ἀγαθοῦ βασιλῆος ἐμοῖς παθέεσσιν ἐόντος,
Πρηκτὴρ αὐτὸς ἔοιμι πικρὸς χρηστοῖς ὁμοδούλοις.
Καί τι χρεῶν κόψαιμι λαθὼν πινυτόφρονι βουλῇ,
Ὥς κεν χρηΐζων περ τ' ἐς ὕστερον ἄλκαρ ἔχοιμι.
Λάζαρος ἐνθάδ' ἔοιμι, καὶ ὕστερον. ἄλλος ἀγήνωρ
Ἐνθάδε, κεῖθι δ' ἄλιμος ἔχων φλόγας ἀντὶ κόροιο.
Εἴην μὴ μεγάλαυχος, ἐπεὶ κακός εἰμι τελώνης.

I am forte Christo adfuturo laborantibus,
S erilucæ uitæ humidum desyderem oleum,
N eq; me clausum nuptiarum pellant fores,
V bi sermo est puris desyderio magnis sub uinculis
M ixtus cordibus fiduciam & gloriam præbeat,
E nuptiis autem reuertens rex meus cum accesserit,
E x templo expectantibus & non expectantibus superstans,
I nueniat me inter expectatores, & laudet timoris
V t bonum seruum, & mitem subiectis,
E t frumenti datorem, sermonis solidi optimum.
S cissisq; hedis & ouibus die amaro,
V irorum, piorumq; & non sanctorum utrinq;
S tatuas ne me hedis annumeratum, sed ouibus
D extrā apud manum, maneatq; in deterioribus sinistra.
L ucerna autē quædam mihi quidem lucifera extrīsecus luceat
L ucernarium desuper, pulchrum aūt qd & deum solum
N osse, qui omnibus inspectantem oculum ponit
S emper autem amem deum plus, siue quid amarum,
S iue bonum præbeat, omne enim bonum, si autem uerberet
P rædonibus, magna descendens a Christi urbe,
N e me linquas manibus ab homicidis domitari,
S i uero spiritum abiges ab anima, non ulterius ociosum
I nueniens, cum pluribus percurrat inimicus mei,
N eq; ficum perdideris inutilem, sed adhuc fructum
S pera, neq; incidas ipsam rex, aleas autem erigere
D rachmamq;, ouemq;, filiumq; omnia perdentem,
I nueniēs, hāc qdē, humi, hoc aūt mōtibus, hūc uero sub pedib⁹.
M iserabilem reuertentem paternam in domum, o rex,
R ursus numeraueris inter filios, pecora, drachmas,
N eq; bono rege meis affectionibus existente,
A ctor ipse sim amarus bonis conseruis,
E t aliquid debitorum scindam latens prudenti consilio,
V t indigens olim in posterum auxilium habeam,
L azarus hic sim, & postea, alius superbus
H ic, illic autem abiectus habens flammas pro sacietate,
S im non iactabundus, quoniam malus sum publicanus,

128

μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. λέγει αὐτῇ ὁ Ιησοῦς, ὕπα-
γε φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε. ἀπεκρίθη ἡ γυνὴ καὶ
εἶπεν, οὐκ ἔχω ἄνδρα. λέγει αὐτῇ ὁ Ιησοῦς, καλῶς εἶπας ὅτι ἄν-
δρα οὐκ ἔχω. πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου
ἀνήρ. τοῦτο ἀληθὲς εἴρηκας. λέγει αὐτῷ ἡ γυνὴ, κύριε, θεωρῶ ὅτι
προφήτης εἶ σύ. οἱ πατέρες ἡμῶν, ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν. καὶ
ὑμεῖς λέγετε, ὅτι ἐν ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου δεῖ προσκυνεῖν.
λέγει αὐτῇ ὁ Ιησοῦς, γύναι, πίστευσόν μοι ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε
ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. ὑ-
μεῖς προσκυνεῖτε, ὃ οὐκ οἴδατε. ἡμεῖς προσκυνοῦμεν, ὃ οἴδαμεν, ὅτι ἡ
σωτηρία ἐκ τῶν ἰουδαίων ἐστίν. ἀλλ᾽ ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀλη
θινοὶ προσκυνηταὶ, προσκυνήσουσι τῷ πατρὶ, ἐν πνεύματι, καὶ ἀλη
θείᾳ. καὶ γὰρ ὁ πατὴρ, τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐ
τόν. πνεῦμα ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι,
καὶ ἀληθείᾳ, δεῖ προσκυνεῖν. λέγει αὐτῷ ἡ γυνὴ, οἶδα ὅτι μεσίας
ἔρχεται, ὁ λεγόμενος χριστός. ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡ
μῖν πάντα. λέγει αὐτῇ ὁ Ιησοῦς, ἐγώ εἰμι ὁ λαλῶν σοι. καὶ ἐπὶ
τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ. καὶ ἐθαύμασαν, ὅτι μετὰ γυναι
κὸς ἐλάλει. οὐδεὶς μέντοι εἶπε, τί ζητεῖς, ἢ τί λαλεῖς μετ᾽ αὐτῆς.
ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ, καὶ ἀπῆλθεν εἰς τὴν πό-
λιν, καὶ λέγει τοῖς ἀνθρώποις, δεῦτε ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι
πάντα ὅσα ἐποίησα. μήτι οὗτός ἐστιν ὁ χριστός; ἐξῆλθον οὖν ἐκ
τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν. ἐν δὲ τῷ μεταξὺ, ἠρώτων
αὐτὸν οἱ μαθηταὶ, λέγοντες, ῥαββί, φάγε. ὁ δὲ, εἶπεν αὐτοῖς, ἐγὼ
βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. ἔλεγον οὖν οἱ μαθηταὶ
πρὸς ἀλλήλους, μή τις ἤνεγκεν αὐτῷ φαγεῖν; λέγει αὐτοῖς ὁ
Ιησοῦς, ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με,
καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. οὐχ ὑμεῖς λέγετε ὅτι ἔτι τετράμηνός
ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλ
μοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας ὅτι λευκαί εἰσι πρὸς θερι-
σμὸν ἤδη. καὶ ὁ θερίζων, μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς
ζωὴν αἰώνιον. ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ, καὶ ὁ θερίζων. ἐν γὰρ
τούτῳ, ὁ λόγος ἐστὶν ὁ ἀληθινὸς, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος
ὁ θερίζων. ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν, ὃ οὐχ ὑμεῖς κεκοπιάκατε.
ἄλλοι κεκοπιάκασι. καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθα-
τε.

ζήτει τὸ λοιπὸν ἐν τῷ μέσῳ τοῦ ἐφεξῆς τετραδίου.

non sitiam, neq; ueniam huc haurire. dicit ei Iesus. Vade uoca uirum tuum, & ueni huc. Respondit mulier, & dixit. Nõ habeo uirũ. dicit ei Iesus. Bene dixisti, qa nõ habeo uirum. quinq; enim uiros habuisti, & nunc, quẽ habes non est tuus uir. Hoc uere dixisti. dicit ei mulier, domine, uideo quia propheta es tu. Patres nostri in monte hoc adorauerunt, & uos dicitis quia hierosolymis est locus ubi oportet adorare. dicit ei, Iesus. Mulier crede mihi, quia uenit hora quando neq; in monte hoc, neque in Hierosolymis adorabitis patrẽ. Vos adoratis quod nescitis, nos adoramus, quod scimus, quia salus ex iudæis est. Sed uenit hora & nunc est, quando ueri adoratores adorabunt patrem in spiritu & ueritate. Nam & pater tales quærit, qui adorent eum. Spiritus deus, & eos, qui adorant eum in spiritu & ueritate oportet adorare. dicit ei mulier. Scio quia messias uenit qui, dicitur xp̃s. Cum ergo uenerit, ille nobis nuntiabit omnia. dicit ei Iesus, ego sum qui loquor tecum. Et continuo uenerunt discipuli eius, & mirabantur, quia cũ muliere loquebatur. Nemo tñ dixit. qd quæris, aut qd loqueris cũ ea. Reliquit ergo hydriam suam mulier. & abiit in ciuitatẽ, & dicit illis hominibus. Venite & uidete hominẽ qui dixit omnia q̃cunq; feci. Nunquid ipse est Christus? Exierũt ergo de ciuitate & ueniebant ad eum. Interea rogabant eum discipuli dicentes. Rabbi manduca. Ille autẽ dixit eis, Ego cibũ habeo manducare, quẽ uos nescitis. Dicebãt ergo discipuli adinuicem. Nunquid aliqs attulit ei mãducare? Dicit eis Iesus. Meus cibus est, ut faciam uoluntatem eius, qui misit me & perficiam opus eius. Nõne uos dicitis ꝙ adhuc q̃tuor mẽses sunt, & messis uenit. Ecce dico uobis, leuate oculos uestros, & uidete regiones, quia albæ sunt iam ad messem. Et qui metit, mercedem accipit, & congregat fructum in uitã eternã, ut & qui seminat simul gaudet & q metit. In hoc .n. est uerbum uerum, quia alius est, qui seminat, & alius est qui metit. Ego misi uos metere quod uos non laborastis. Alii laborauerunt, & uos in labores eorum introistis.

Quære reliquum in medio sequentis quaternionis.

129

Lachrymis miserationem habeam, Pharisæi autem cadant,
V iduam autem si quando mea apud uestibula laborantem
I nfectam mittam, & ei lapidem aut serpentem grauem
P ro pane caro & pisce iucundiuoro
I nimica sentiens, manu autem ab hac porrigam,
T alia pro iis sortiar deo, si autem deposita
Hæc qdem sigillum habet, alia uero spes cito currentes,
Hæc me nox perdat cum infirmis somniis,
N eq; uero neq; talentum, quod mihi deus præstitit
Plus aliis metiens gratiæ, precor ego sane
H oc manere manibus in nostris ociosum,
A ut minam naturalis sermonis gratiam, æq; distributam,
S ed opusq; præbeam, gloriamq; insuper contra sortiar,
N e q; pœnam soluam amaram, & obprobrium habeam.

AD EOS QVI IN COMMVNI VITA SVNT MONACHOS.

s I quidem igitur pluribus similem uitam laudarent
Viri atq; mulieres concordiæ sub uinculis,
Propitium circa regem tripudiationis dominum,
C onspirantem, æquiuium contubernalem gloriam habentes
M elius, non uult enim omne bonum solum spectari.
N on enim est optimum, quod non bono prominet,
Et angusta amicitia, parua gratia, ut multimixta
Cœnosa, iubeo autem hic hiatum maximum
S tare, ut sint distanter pii,
V iri atque mulieres, similem gloriam solum habeant.
N on enim soliuiuis solum inuidia, sed insuper magis
Pluribus, plusque malo labor, si uero & solus
H abitare uelis Chisto unitus soli,
Et hoc, carū ē, omnibus aūt simul timor, quemadmodū mihi,
H ostilisque luctæ, & casus pernitiosi.

AD GRAECVM GENVS DE MONACHIS HORTATORIVM.

qVæris qdem meorū uerborū robur nō āplius existētiū
Ex quo mundo huic, parum firmus sum

Δακρυόεν δίκην ἔχοιμι, φαεινοτάτοισι δὲ πέλοιεν.
Χήρην δ' εἴποτ' ἐμεῖο παρὰ προθύροις μογέουσαν
Ἄπρηκτον πέμψαιμι, καί οἱ λίθον ἠὲ ὄφιν αἰνὸν
Ἀντ' ἄρτοιο φίλοιο καὶ ἰχθύος ἡδυβόροιο
Ἐχθρὰ φιλοφονέων, παλάμης δ' ἀπὸ τῆσδ' ὀρέγοιμι,
Τοίων αὐτὶς τύχοιμι θεοῦ πάρα. εἰ δ' ἀποθήκας
Τὰς μὲν, σφρηγὶς ἔχει, τὰς δ' ἐλπίδες ὧδε θέουσαι,
Ἤδε με νὺξ ὀλέσειε σὺν ἀφραδέεσσιν ὀνείροις.
Οὐδὲ μὲν οὐδὲ τάλαντον, ὅ μοι θεὸς ἐγγυάλιξε
Πλειοτέρην ἄλλοισι μεριζέων χάριν, εὔχομ' ἔγωγε
Τοῦτο μένειν παλάμῃσιν ἐν ἡμετέρῃσιν ἀεργὸν,
Ἠὲ μναῖ φυσικοῖο λόγου χάριν ἰσονέμητον,
Ἀλλ' ἔργον τ' ὀπάζοιμι, κλέος τ' ἐπὶ τ' αὖτε τύχοιμι.
Μὴ δὲ δίκην τίσαιμι πικρὴν, καὶ αἶσχος ἔχοιμι.

ΠΡῸΣ ΤΟῪΣ ἘΝ ΚΟΙΝΟΒΊΩ ΜΟΝΑΧΟΎΣ.

Ι μὲν δὴ πλεόνεσσιν ὁμὸν βίον αἰνήσαιεν
Ἄνδρες ἠδὲ γυναῖκες ὁμοφροσύνης ὑπὸ δεσμοῖς,
Ἵλαον ἀμφὶ ἄνακτα χοροστασίης μεδέοντα,
Σύμπνοον, ἰσοκέλευθον, ὁμόφροφον εὖχος ἔχουσαι,
Λώϊον. οὐκ ἐθέλει γὰρ ἅπαν καλὸν οἷον ὁρᾶσθαι.
Οὐδὲ γὰρ οὐδὲν ἄριστον, ὃ μὴ καλοῖο προέχει.
Καὶ στεινὴ φιλίη, στεινὴ χάρις, ὡς πολύμικτος
Βορβορέη. κέλομαι δὲ ἐνθάδε χάσμα μέγιστον
Ἑστάμεν, ὥς κεν ἔωσι διασταδὸν εὐσεβέοντες,
Ἄνδρες ἠδὲ γυναῖκες, ὁμὸν κλέος οἷον ἔχοιεν.
Οὐδὲ γὰρ οἰοβίοισι μόνον φθόνος, ἀλλ' ἔτι μᾶλλον
Πλειοτέροισ. πλείων τε κακοῦ μόθος. εἰ δὲ καὶ οἷος
Ναιετάειν ἐθέλοις Χριστῷ ζευγνύμενος οἴῳ,
Καὶ τό, φίλον, πάντεσσι δ' ὁμὸς δέος, ὥσπερ ἔμοιγε,
Δυσμενέος τε πάλης, καὶ πτώματος οὐλομένοιο.

ΠΡῸΣ ἙΛΛΗΝΙΟΝ ΠΕΡῚ ΤΩ͂Ν ΜΟΝΑΧΩ͂Ν ΠΡΟΤΡΕΠΤΙΚΌΝ.

Ἴζηαι μὲν ἐμῶν μύθων σθένος οὐκέτ' ἐόντων,
Ἐξ οὗπερ κόσμῳ σῷ δ' ὀλιγοδρανέω

Σταυρὸν ἀειράμενος, φόρτον γλυκὺν, ὅς μ' ἐσάωσε,
Καὶ πάντων βροτέων Χριστὸν ἀμειψάμενος.
Οἱ δ' ἔτι λίην μαλθακοὶ καὶ θωπῆες ἔασιν.
Οὐδὲ γὰρ οὐδὲ λόγῳ κρείσσονι τοῦτο φίλον.
Οὐ γενεὴν, οὐκ ὄλβον, ὃς ἄφροσιν ὀφρὺν ἀέξει,
Οὐ ῥήξης πυρόεν ὑβρέουσι μένος.
Σεῖο κασιγνήτου τε μέγα κλέος, ὧν ῥα πόληες
Νωμῶνται μεγάλης οἰήκεσι παλάμης.
Ἀλλὰ τὰ μὲν, κενεοῖσι λόγοις μελεδήματα κείσθω.
Οἱ δ' ἐμοὶ, οὐκὶ φίλοις ἦρα φέρουσ' ὀλίγην,
Ἀλλά σε προφασίησι θεουδέσι πολλὸν ἀρείω
Θήσομεν. σὺ δέ μοι ἤπιον οὖας ἔχοις.
Ἦ τάχα κρείσσονα μισθὸν ἐμοῖς ἐπέεσσιν ὀπάσσοις,
Πλείοσιν ὑμνέειν, οὐδὲ κωλυομένοις.
Οἷς μοι χθιζὸν ἄριστε ὑπέσχεο, καὶ κατένευσας,
Οὐκ ὀλίγοις ὀλίγῳ μακρὰ χαριζόμενος.
Ἀλλ' ἄγ' ἐμῶν ἐπέων ἐμπάζεο, οὓς ἀπὸ βίβλων
Φθέγξομαι οὐρανίων νειόθεν ἐκ κραδίης.
Ἄλλοι μὲν χρυσόν τε καὶ ἄργυρον, οἱ δὲ, τὰ σηρῶν
Δῶρα φέρουσι θεῷ νήματα λεπταλέα.
Καὶ Χριστῷ θυσίην τις ἁγνὴν ἀνέθηκεν ἑαυτόν.
Καὶ σπένδει δακρύων ἄλλος ἁγνὰς λιβάδας.
Σεῖο δὲ Χριστὸς ἔχει δῶρον τόδε. εἰσὶ θεοῖο
Λάτριες, οἷσι φέροις πάντων ἐλευθερίην.
Οἵ κε γαληνιόωντι νόῳ, ψυχαῖς τε τελείαις,
Πληθὺν ἄγοιεν ἄνω μύστιν ἐπουρανίων.
Πᾶσί τε Χριστοφόροισιν, ὅσοι χθονός εἰσιν ὕπερθεν
Ἀζυγέες, κόσμου βαιὸν ἐφαπτόμενοι,
Ὕμνοις παννυχίοισι καὶ ἠματίοισιν ἄνακτα
Μέλποντες, χθαμαλῶν ἀλλότριοι κτεάνων,
Οἷς κόσμου μεδέων δειλὸν γένος ἔνθα καὶ ἔνθα
Παίζει ἐπιχθονίων, ἄλλοτ' ἐπ' ἄλλον ἄγων,
Οἷον πλοῦτον ἔχοντες ὑπέρτατον, ἐλπίδα κούφην
Τῶν οὐκ ὀλλυμένων, οὐδὲ μεθισταμένων,
Γλυρᾶς ὄχα τέοντες ἑὸν δέμας ἀμφαγαπῶσιν,
Οὐδὲ νέῃ παλάμῃ παισὶν ὀρεγόμενοι,

Crucem tollens, onus dulce, quæ me seruauit,
Et omnibus mortalibus Christum permutans,
Hi uero sane non nimium molles neq; blandi sunt
Neq; enim neq; uerbo præstantiori hoc amicum.
Non generationẽ, nõ opes, quæ stultis supciliũ attrahunt,
Non orationis igneum edicunt robur,
Tui fratrisq; magna gloria, quorum certe urbes
Reguntur magnæ gubernaculis manus,
Sed hæ quidem, inanibus sermonibus meditatiões iaceant,
Hi mihi nihil amici uoluptatem afferunt paruam
Sed te præceptis deiformibus multo præstantiorem
Ponent, tu uero mihi benignam aurem habueris.
Quippe præstantiorem mercedem meis uerbis prebueris,
Pluribus beneuole affici neque decem indigentibus,
Quos mihi hesternum optime, pollicitus es, & annuisti,
Non paruus paruo longa gratificatus.
Sed age meorum uerborum curam habeas, quæ a libris
Loquar cœlestibus intimo ex corde.
Alii quidem aurumq; & argentum, alii uero Serum
Dona ferunt deo texturas tenues,
Et Christo sacrificium quis sanctum dedicauit seipsum,
Et libat alius lachrymarum sanctas guttas
Tui autem Christus habeat donum hoc, sunt dei
Cultores, quibus præbeas omnem libertatem,
Qui tranquilla mente, animabusq; puris,
Multitudinem agunt supra sacerdotem supercœlestium.
Omnibusq; Christiferis, quicũque terram sunt desuper
Iniugati, mundi parum attingentes,
Hymnis nocturnis & diurnis regem
Canentes, humilibus alieni a possessionibus,
Quibus mundo imperans timidum genus hinc & inde
Ludit terrestrium, alias ad alium agens.
Solas diuitias habentes supremas, spem leuem
Non pereuntium, neque transmutatorum,
Latere non indigentes, suum corpus amante,
Neque iuuenili manu filiis annixi

131

Neque fratribus fidentes, neque sociis,
Sanguini & cineri cras perituræ,
Neque magnum spirantes in urbibus & ciuibus,
Infirmorum uentorum robore audaci,
Neque qdem desyderantes euolantem celerrime
Gloriam humanam, delectationem nocturnam,
Sed deo mittentes totam mentem, exque deo
Solido a saxo rudentes alligantes,
Sacerdotes occultæ uitæ Christi regis,
Vt apparente luceant magnopere
Spectantes trinitatis purum lumen in unum euntis,
Et rursus apertæ oculis sanctissimis,
Cœlestis exercitusque magna gloria, nõ amplius obscuris
Visis, neque paucis uestigiis ueritatis.
Sed hæc quidem, postea, quæ uero hic sunt fumus uilis
Aut puluis, qui uitam honorarunt cœlestem.
Quorum hi quidem, speluncis solitariisque cubilibus
Delectantur rudibus, & odere domos,
Et urbium fugiunt consortium, cœlestis autem
Amant sapientiæ cognatam quietem.
Alii uero ferreis compedibus laborant,
Liquefacientes uitium cum puluere liquescente,
Alii uero rursus feris similia domiciliis paruis
Cohibiti, mortalem neque rimam offenderunt,
Viginti autem noctesque & dies mansere incibati,
Sæpenumero Christi dimidium tolerantiæ
Gloriabor, ouilis quædam mei ouis erat illarum
Vnde motus urbe ex parua.
Et linguam aliquis uinxit loquacem, & labra silentio,
Ex mente autem, magna laudem sacrificauit mente,
Et certe quis annos totos sacro in loco
Stans puras explicauit manus,
Neque hic in palpebris somnũ iecit, miraculum incredendum,
Sed diriguit Christo spirans ut lapis,
Huic coruus uicinus, parui imptiebatur cibi
Reliquias unus autem utiq; erat utrisq; panis.

Οὐδὲ κασιγνήτοισι πεποιθότες, οὐδ᾽ ἑτάροισιν,
Αἵματι καὶ τέφρῃ αὔειον ὀλλυμένῃ,
Οὐδὲ μέγα πνείοντες ἐν ἄστεσι καὶ πολιήταις,
Ἀδρανέων ἀνέμων κάρτεϊ θαρσαλέῳ,
Οὐδὲ μὲν ἰσχανόωντες ἀφαπταμένοιο τάχιστα
Κύδεος ἀνδρομέου, τέρψιος ἐννυχίης,
Ἀλλὰ θεῷ πέμποντες ὅλον νόον, ἔκ τε θεοῖο
Εὐπαγέος πέζης πείσματ᾽ ἀναπτόμενοι,
Μύσται κρυπτομένης ζωῆς Χριστοῖο ἄνακτος,
Ὥς κε φαινομένης παμφανόωσι μέγα
Δερκόμενοι τελέθουσ καθαρὸν σέλας εἰσανιούσης,
Καὶ θεοῖς ἀνοιγομένης ὄμμασιν ἁγνοτάτοις.
Οὐρανίης στρατιῆς τε μέγα κλέος, οὐκ ἔτ᾽ ἀμυδροῖς
Φάσμασιν, οὐδ᾽ ὀλίγοισ᾽ ἴχνεσιν ἀτρεκίης.
Ἀλλὰ τὰ μὲν, μετόπισθε. τὰ δ᾽ ἐνθάδε, καπνὸς ἄτιμος
Ἢ κόνις, οἳ ζωὴν τίθεν ἐπουρανίην.
Ὧν οἱ μὲν, ἀπηλυγξιν ἐρημαίαις τε χαμεύναις
Τέρπονται ψολίοις, καὶ συγχέουσι δόμους,
Καὶ πτολίων φεύγουσιν ὁμήγυριν, οὐρανίης δὲ
Στέργουσιν σοφίης σύγγονον ἀτρεμίην.
Οἱ δὲ, σιδηρείῃσιν ἀλυκτοπέδαισ μογέουσι,
Τήκοντεσ κακίην σὺν χοῒ τηκομένῳ.
Ἄλλοι δ᾽ αὖ θήρεσσιν ὁμοίϊα δώμασι τυτθοῖς
Εἰρχθέντες, βροτέης οὐδ᾽ ὀπὸς ἠντίασαν.
Εἴκοσι δ᾽ αὖ νύκτας τε καὶ ἤματα μίμνον ἄπαστοι,
Πολλάκι τῆς Χριστοῦ ἥμισυ καρτερίης.
Αὐχήεις, ἐρίμνης τίς ἐμῆς οἷς ἦεν ἐκείνων
Ἔνθεν ἀφορμηθεὶς ἄστεος ἐξ ὀλίγου.
Καὶ γλαφυράν τις ἔδησε λάλον, καὶ χείλεα σιγῇ.
Ἐκ δὲ νόου, μεγάλῳ αἶνον ἔθυσε νόῳ.
Καίπου τίς λυκάβαντας ὅλους ἱδρῷ ἐνὶ χώρῳ
Ἑστηὼς καθαρὰς ἐξεπέτασσε χέρας.
Οὐδ᾽ ὅγ᾽ ἐπὶ βλεφάροισιν ὕπνον βάλε, θάμβος ἄπιστον,
Ἀλλ᾽ ἐπάγη Χριστῷ ἔμπνοος ὥς τε λίθος.
Τῶ δὲ, κόραξ γείτων, τυτθῆς ἐμερείζετο δαιτὸς
Λείψανον. εἷς δ᾽ ἄρ᾽ ἔην ἀμφοτέροις ἄκολος.

Καί τις ἀνὴρ θείοιο κατ' ἴχνεος ἔνθεν ἀέρθη,
  Χριστὸς ὅτ' ἀνθρώποισι λεῖψε πάθος τελέσας.
Ἔνθα λόγῳ τε νόῳ τε καὶ ἄψεσιν ἀστυφέλικτος
  Ἑστηκὼς, νιφετῷ βαλλόμενος καὶ ἀνέμοις.
Οὐδ' ὑπόεικε λιτῇσι πολυστάδὸν ἄλλοθεν ἄλλων
  Ἀνδρῶν εὐσεβέων ἀμφὶς ἑλισσομένων,
Ἀλλ' ἔχεν κρατερῶς Χριστοῦ μεγάλοιο ἄνακτος
  Ἔνθεν ἀναστήσας ὃν νόον ἐκ μερόπων,
Μέσφ' ὅτ' ἀποψύχοντι δόμον νέον ἀμφὶς ἔθηκεν,
  Οὐδ' ἐμπαζομένῳ κηδεμόνος παλάμης.
Ἆ, φίλος ἦλθεν ἔμοιγε, λόγος πιστοῖσι τετύχθαι
  Τόνδε νόμον μοναχοῖς οὔνομα καὶ βίοτον.
Οἷς πλεῖστοι μὲν ἴσασιν, ἀτιμάζουσι δὲ παῦροι,
  Πλεῖον θερμοτέρους ἔμφονος εὐσεβίης,
Εὖτέ τις εὐαγέων ἀνδρῶν κείνοισι πελάσσῃ,
  Ἡμεδαποῖο νόμου μηδὲν ἐπιστάμενος,
Γρῶτά μιν εὐμενέως μετ' ἑοῖς τίουσι δόμοισιν,
  Ἀμφαγαπαζόμενοι πᾶσι τύποις φιλίοις,
Καὶ ψυχὰς θείοισι λόγοις ὅσα πνεῦμ' ἐχάραξεν
  Ὕψουσιν, φαεινὴν δαῖτα χαριζόμενοι.
Αὐτὰρ ἔπειτα, νόμου τίς ἀπηνέος ἐν μεσάτοισι
  Μνήσατο, καὶ τοῖον ἐξερέεινεν ἔπος,
Εἰ καλὸν εὐσεβέεσσι θεοῦ πέρι ὄλμον ἐπιπεσεῖν
  Ἕλκων κρυπταδίοις ῥήμασι πικρὸν ἔπος,
Εἰ δ' ὅγ' ἀϊδρείῃσιν ἐπαινήσειε τελευτήν,
  Θνήσκουσιν πολλοῖς προφρονέως θανάτοις·
Αὐτοὶ ἀπὸ σφετέρης παλάμης, καὶ γαστρὸς ἀνάγκῃ.
  Οἱ δὲ κατὰ σκοπέλων, βένθεσί τ' ἠὲ βρόχοις,
Μάρτυρες ἀξείνης. ἐκ πολέμου δ' ἄπο καὶ στονόεντος
  Χαίρουσιν βιότου τοῦ δ' ἀπανιστάμενοι.
Ἵλαθι Χριστὲ ἄναξ πιστοῖς φρεσὶν ἀφραδέουσιν,
  Οἷα τ' ἄχρι νύσσης πῶλος ἀεθλοφόρος
Τῆλε φερῶν ἑὰ γοῦνα ποδωκείῃσι πεποιθώς,
  Οὐδὲ χαλινοῖσιν ἐντὸς ἐεργόμενος.
Ἄλλος δ' αὖτ' ἄλλης ἀρετῆς ἐπιτέρπετ' ἐρωῇ.
  Σταθμῶν πλειοτέρων, πλείονες ἐργατῖναι.

Et quidam uir diuino in monte inde sublatus est,
Christus cum homines liquit passionem finiens,
Vbi orationeq; menteq; & membris immotus,
Stans, niue feriebatur & uentis,
Neque cedebat precibus circũstanter aliunde aliis,
Viris piis circum uolutatis,
Sed tenebatur fortiter Christo magno rege,
Inde erigens suam mentem ex hominibus,
Quousq; morienti domum nouam circumposuit,
Neq; curanti curatricis manus,
Ha, horror uenit mihi quidem, sermonem fidis factum esse
Hanc legem monachis nomen & uitam
Quos plurimi quidem sciunt, spernunt autem pauci,
Plus calidiores prudentiæ pietate,
Cum quis sanctorum uirorum illis adhæserit,
Nostratis legis nihil sciens,
Primum ipsum benigne quidem suis honorant domibus,
Adamantes omnibus formis amicis,
Et animas diuinis sermonibus quos spiritus impressit
Extollunt, illustre epulum largientes.
Verum deinde, legis quis immitis in mediis
Meminit, & tale exquisiu it uerbum,
Si pulchrum est piis de deo fatum consequi
Trahens cælatis uerbis amarum dictum,
Siue hic ignorantiis laudet finem
Moriuntur multis prompte mortibus
Ipsi sub uestra manu, & uentris necessitate,
Alii uero in scopulis, profundisque aut laqueis,
Testes ueritatis. e bello autem & ab lugubri
Gaudent uita ab hac exurgentes,
Propitiare Christe rex fidis mentibus inconsultis,
Qualiter a uia pullus primigerus
Longe ferens sua genua pernicitatibus fretus,
Neque habenas intra cohibitus,
Alius uero rursus alterius uirtu tis delectatur motione,
Ponderum plurium, plure s operatores.

133

Sed quid mihi hæc singula dicere, angustum enim callem
Paucis hominum hic peragratum.
Alii uero extrudunt, & difficile Vestibulum,
Bonorum multis calcatum laboribus,
Talis quidem Christi sors, talem autem a terra
Patri Christus agit fructum suarum passionum,
Lucrum uerbi, populi autem gloria, mundi aût fundamentum,
Pulchritudinibus cœlestibus contra ostensum.
Quorum & mihi genus est luciferum, oculos liquefaciat
Inuidia, tu autem mihi his amica sentias,
Cledonio primum clementi, qui quidem pauperibus
Viuit, & Christo omnia dedicauit ferens.
Se quidem primum, deinde uero, quæcūq; possederat,
Nihil suæ uitæ linquens terrestri,
Margarita inter lapides, inter sydera lucifer alius,
Ver inter tempora, inter plantas autem rosa.
Et terrestris olim regis in atriis gloria elatus,
Maiorem in nostro sceptro gloriam habet,
Christo enim regi assistit, uerum deinde,
Multo coæqualis præstantiori Eulalio,
Hunc quippe fratris magnum robur Helladii
Dimidium nuper relinquens, abiit eiulans
In choreā, quam desyderabat, hic uero hic solus relictus est,
Nihil potens uidere melius Helladio,
Matrem autem gubernauit suam odioso a morbo
Vexatam, paucis in guttis uitæ,
Qualem, multas est rumor arguere, sufficiens dicere
Talium filiorum matrem paruum uerbum.
Carterium autem alteri dedit deus, sed & hunc,
Facies tuum amice beneuolens sociis,
Carterium, cuius, gloria inter cœlestes maxima
Semper sublato spiritui ab carne,
Parce & magno Nicomede, si quem audis,
Qui uitam mortalem dedit cœlesti.
Et sacrificium magni patris æmulatus est uetus
Abraā, lustrata suorum filiorum duitate,

Ἀλλὰ τί μοι τὰ ἕκαστα λέγειν. στεινὴν γὰρ ἀταρπὸν
  Παύροισιν μερόπων ἔνθαδ' ὀλισθομένην
Οἵδε διεξελάουσι, καὶ ἀργαλέον πυλεῶνα,
  Τῶν ἀγαθῶν πολλοῖς στειβόμενον καμάτοις.
Τοῖον μὲν χρυσοῖο λάχος. τοῖον δ' ἀπὸ γαίης
  Πατρὶ χρυσὸς ἄγει καρπὸν ἑῶν παθέων.
Ἕρμα λόγου. χοροῦ δὲ κλέος. κόσμου δὲ θέμεθλον,
  Κάλλεσιν οὐρανίοις αὐτεπιδεικνύμενον.
Τῶν, καὶ ἐμοὶ γένος ἐστὶ φαεσφόρον. ὄμματα τήκοι
  Ὁ φθόνος. ἀλλὰ σύ μοι Χριστὲ φίλα φρονέειν,
Κληδονείῳ πρώτιστον ἐνηεῖ, ὅς γε πενιχροῖς
  Ζωὴν, καὶ χρυσῷ πάντ' ἀνέθηκε φέρων.
Αὐτὸν μὲν πρώτιστον. ἔπειτα δὲ, ὅσσ' ἐπέπαστο,
  Οὐδὲν ἐῇ ζωῇ λειπόμενος χθονίῃ.
Μάργαρος ἐν λιθέεσσιν, ἐν ἄστρασι φωσφόρος ἄλλος,
  Εἶαρ ἐν ὥρῃσιν, ἐν δὲ φυτοῖσι ῥόδον.
Καὶ χθονίου πότ' ἄνακτος ἐν αὐλαῖς κυδεῖ γαίων,
  Μεῖζον ἐν ἡμετέρῳ ἕρκεϊ κῦδος ἔχει.
Χριστῷ γὰρ βασιλῆϊ παρίστατο. αὐτὰρ ἔπειτα,
  Πολλὸν ὁμηλικίης κρείσσονι Εὐλαλίῳ.
Τόν ῥα κασιγνήτοιο μέγα σθένος Ἑλλαδίοιο
  Ἡμισυν ἀρχὴν λιπὼν, ᾤχετ' ἀποπτάμενος
Ἐς χορὸν, ὃν ποθέεσκεν. ὁ δ' ἐνθάδε μοῦνος ἐλείφθη,
  Οὐδὲν ἔχων ὁράαν φέρτερον Ἑλλαδίου.
Μητέρα δ' ἀμφιβέβηκεν ἑὴν στυγερῆς ἀπὸ νούσου
  Τειρομένην, ὀλίγαις ἐν ψεκάσι βιότου.
Οἵαν, πουλὺς ὁ μῦθος ἐλεγχέμεν, ἄρκιον εἰπεῖν
  Τοιούτων τεκέων μητέρα βαιὸν ἔπος.
Καρτέριον δ' ἑτέρῳ δῶκεν θεός. ἀλλ' ἄρα καὶ τὸν,
  Θήσεις σὸν φιλότης εὐμενέων ἑτάροις.
Καρτέριον, τοῦ κῦδος ἐν οὐρανίοισι μέγιστον
  Αἰὲν ἀειρομένου πνεύματι σαρκὸς ἄπο.
Φείδεο καὶ μεγάλου Νικομήδεος, εἴ τιν' ἀκούεις,
  Ὃς ζωὴν βροτέην δῶκεν ἐπουρανίῃ,
Καὶ θυσίην μεγάλοιο πατρὸς ἐζήλωσε παλαιὴν,
  Ἀβραὰμ, ἁγνίσσας ὧν τεκέων δυάδα.

Σπεύδοντες θυσίην ἱερήϊα. καὶ γάμον ἐσθλὸν
  Θήκατ᾽, ἐπείρα γάμου κἀγαμίης στέφανος.
Οὐ δ᾽ ἔλιπεν γαίῃ περ ὀρθοῖς χρόος, ὡς ὅλος ἔλθῃ
  Γαῖαν ἐς αἰπεινὴν, τῆς δὲ λυθεὶς βιοτῆς.
Καρτερὸν ἀριστεύοντα μετ᾽ ἀνδράσιν ἠδὲ γυναιξὶν,
  Ἀνδράσιν ἦγα φίλον, θηλυτέραις θύγατρα.
Ἡ μετέροισι γεροῖσιν ἐὸν στάχυν ἐγκαταλέξας,
  Ἔλπομαι, ὡς λωῶν ἄξιον οὐρανίων
Εὐθαλέας ὅρπηκας ἀπ᾽ εὐόδμοιο φυτοῖο.
  Εἰ δὲ καὶ ὧν τοκέων κρείσσονας ἐκ τοκέων,
Ἀλλὰ τὸ μὲν, κρατεροῖο θεοῦ ἐν χείρεσι κείσθω,
  Ὃς μέγα παισὶ μεγάλαις ἐλπίσι τέρμα φέρει.
Νῦν γε μὲν οἷς τεκέεσσι πατὴρ πτερὸν οἷα νεοσσοῖς
  Αἰετὸς ὠκυπέτης πλησίον ἱπτάμενος,
Ἰθύνει νεόπηκτον, ὅτ᾽ ἤερος ἐν λαγόνεσσι
  Δινεύοντ᾽ οὔπω θαρσαλέῳ πτέρυγι.
Πολλὰ μὲν εὐσεβίης παιδεύματα τοῖσιν ὀπάζων,
  Οὔπω δ᾽ ἧς ἀρετῆς φέρτερον οὐδὲν ἔχων.
Ὃς θείοισι λόγοισι καὶ ἤθεσι τοὺς δ᾽ ἀνέθηκεν,
  Ἐξ ἁπαλῶν ὀνύχων ἐσθλὸν ἐρειδόμενος.
Καὶ πενίην ἱερὴν κλῆρον πόρσυνε μέγιστον,
  Μηδὲν ὡς κε λίποι ὄργανον εὐοδίης.
Οὗτος μὲν δῆσοι τοῖος δόμος, εὖχος ἐμοῖο,
  Εὖχος ἐμῆς μάνδρης, αἷμα δ᾽ ἐξ ἐμέθεν.
Οὐδὲ μὲν ἐν τύμβοισι Θεόγνιος, ἀλλ᾽ ὑπὲρ γαίης
  Ἱστάμενος, θώκων ἅπτεται οὐρανίων,
Μείλιχος, ἡδυεπὴς, αἰεὶ γελόωντι προσώπῳ
  Φαίνων εὐμενέος πνεύματος ἀγλαΐην.
Οὐ δ᾽ ἐπίπλαστον ὕπερθεν ὁμοιΐα θηλυτέρῃσι
  Βάλλων χρῶμ᾽ ἀρετῆς κάλλος ἐλεγχόμενον,
Ἀλλὰ φόβον περιπέδεσσι θεοῦ φίλον ἐντὸς ἐέργων,
  Μούνῳ τῷ κρυφέων ἴδμονι φαινόμενον.
Θαῦμα μέγ᾽, ὑστάτιον περ ἐπαΐξας σταδίοισι
  Τῆς ἀρετῆς, ὅσσον ἔφθασε τοὺς προτέρους
Καρπαλίμοισι πόδεσσι, φίλοις δέ τε παισὶν ἀρείω
  Γευσάμενος σοφίης μοῖραν ἔλεξε βίον.

F estinantem ad sacrificium, uictimas, & nuptias bonas
Fecit, experiebatur nuptias & cœlibatus corona,
N eq; reliquit terræ ramos pulueris, ut totus iret
T erram in excelsam, ab hac solutus uita,
F ructum optime se gerentem cum uiris atq; fœminis,
V iris filium carum, fœminis filiam,
N ostris choris suam spicam adnumerans,
Spero, ut torcularium dignum cœlestium
B ene germinantes ramos ab odorata planta.
Si uero & suorum filiorum præstantiores e filiis,
S ed hoc quidem, fortis dei in manibus iaceat,
Qui magnum magnis spebus finem fert,
N unc quidem suis filiis pater alam ueluti pullis
A quila citiuola prope uolans,
D irigit noui pactam, cum aeris in ilibus
V ersantur non dum fidenti penna,
M ulta quidem pietatis erudimenta his præbens,
N ondum autem suæ uirtutis melius aliquid habens.
Qui diuinis sermonibus & moribus hos dedicauit,
E mollibus unguibus bonum annixus,
Et paupertatem sacram hæreditatem præbe maximam,
Nihil ut relinquat instrumentum prosperitatis
Hæc quidem igitur tibi talis domus, gloria mea,
Gloria meæ mandræ, sanguine ex meo,
N eq; uero inter extremos Theognius, sed in terra
Stans, sedes attingit cœlestes,
B landus, iucũdiloquus, semper uiridanti facie
Monstrans benigni spiritus splendorem,
N eq; confictum desuper similiter mulieribus
I aciens colorem uirtutis pulchritudinem argutam,
S ed timorem mentibus dei amicum intus cohibens,
Soli absconsorũ cognitori apparentem.
M iraculum magnum, postremum quãuis irruens stadiis
V irtutis, quantum præuenit priores
P ernicibus pedibus, amicis autem filiis præstantiorem
Degustans sapientiæ partem ostendit uitæ.

135

Quam aũt antea e terra in cœlum uidit extensam
I sacides I acob, noster progenitor
S calam, hanc conscendens, ut deum ipsum uideret,
Fontem celsissimum cœlestium luminum,
G raduũq; hunc q̃dem linquebat, ille uero uestigia nũc suscipiat
Hunc tenet palma, oculi uero alium habent.
T alis enim hominibus uia, & talem meu m
Sanguinem adducit Christo nobilis genitor.
M ultos autem rursus Euandri thesauros intus occulit
A nima, & canicie albiores mentes.
Quis uero A sterii sapiens obliuiscatur,
Atq; fratrum sacræ trinitatis,
Quibus cõmunis sapientia, cõmunis uita in unũ conuenerũt,
Spe sola carni partiti?
Tacebo Philadelphum meum cor, nobilem sanguinem.
Macrobii autem post hos, educamenti nostri,
E ducamenti nostri, amicum autem meum, quem alis
B eneuolens Christus circumtenet magnis,
Quem omnium domina, non inflauit superbia.
Rheginum celsiuadentem, Leontium, Heliodorum,
Qui Christi sapientiæ summum habent honorem.
A liosque, rusticioribus cum uiris sydera lucentia
Multis hominum, neque apparentia.
I n Christi membris honorata, quis diceret
Sigillos immortalis, formas carniferas?
O mnes autem hi, dei magni potentis serui,
A lius in alia integer pietate,
V estigiis leuissimis calcantes aruum,
Dextræ manus pecora decora,
E t templi magni lapides, quos Christus uinxit
I nter se amabili spiritus compage,
Qui uitæ fauillis paruis uiuunt leuem
Hanc uitam, uentri pauca largientes,
Maligno, affectuum autẽ grauem tumultũ atq; nigram
Sistunt B eli æ undam insurgentem,

Ἣν δὲ πάροσ γαίηθεν ἐς οὐρανὸν εἶδε ταθεῖσαν
Ἰσακίδης Ἰακὼβ, ἡμέτεροσ προπάτωρ
Κλίμακα, τὴν δ᾽ ἀνιὼν, ὥς κεν θεὸν αὐτὸν ἴδηται,
Πηγὴν ἀκροτάτην οὐρανίων φαέων,
Βαθμῶν τῶν μὲν, ἔλειπεν, ὁ δ᾽ ἴχνια νῦν ὑπέδεκτο.
Τοῦ δ᾽ ἔχεται παλάμῃ. ὄμματα δ᾽ ἄλλον ἔχει.
Τοίη γὰρ μερόπεσσιν ὁδὸς, καὶ τοῖον ἐμοῖο
Αἷμ᾽ ἀνάγει χριστῷ συγγενέτης γενέτης.
Πολλὰ δ᾽ αὖ Εὐάνδρου κειμήλια ἔνδοθι κεῦθε
Ψυχὴ, καὶ πολιῆσ λευκότεραι στεφανίδες.
Τίς δέ κεν Ἀστερίοιο σαοφρονέων λελάθοιτο,
Ἢ δὲ κασιγνήτων τῆς ἱερῆσ τετράδοσ,
Οἷς ξυνὴ σοφίη, ξυνὸσ βίος εἰς ἓν ἄγερθεν,
Ἐλπωρῇ μούνῃ σαρκὶ μεριζόμενοι;
Σιγήσω φιλάδελφον ἐμὸν κέαρ, συγγενὲς αἷμα.
Μακροβίου δ᾽ ὠδῖνος, θρέμματος ἡμετέρου.
Θρέμματος ἡμετέροιο, φίλον δ᾽ ἐμόν. ὃν πτερύγεσσιν
Εὐμενέων χριστὸσ ἀμφὶς ἔχει μεγάλαις.
Ὃν πάντων κρατέων, οὐκ ἐφύσησε τῦφοσ.
Ῥηγῖνον ὕψι βιβάντα, Λεόντιον, Ἡλιόδωρον,
Οἳ χριστοῦ σοφίης ἄκρον ἔχουσι γέρασ.
Ἄλλους τ᾽, ἀγροτέροισι μετ᾽ ἀνδράσιν ἄστρα φαεινὰ
Πολλοῖσ ἡμερίων οὐ δὲ φαεινόμενα.
Ἐν χριστοῦ μελέεσσι τὰ τίμια, τίς κεν ἐνίσποι
Σφηγίδας ἀθανάτου, κάλλεα σαρκοφόρα.
Πάντεσ δ᾽ οἵγε θεοῖο μεγασθενέος θεράποντες,
Ἄλλοσ ἐν ἀλλοίῃ ἄρτιος εὐσεβίῃ,
Ἴχνεσι κουφοτάτοισιν ἐπιστείβοντεσ ἄρουραν,
Δεξιτερῆσ παλάμησ θρέμματ᾽ ἀριπρεπέα.
Καὶ νηοῦ μεγάλοιο λίθοι, οὓσ χριστὸς ἔδησεν
Ἀλλήλοισ ἐρατῇ πνεύματοσ ἁρμονίῃ.
Οἳ ζωῆσ σπινθῆρσι μικροῖσ ζώουσιν ἐλαφρὸν
Τόνδε βίον, γαστέρι παῦρα χαριζόμενοι
Ἀρχικάκῳ. παθέων δὲ βαρὺν κλόνον ἠδὲ κελαινὸν
Ἴσασιν βελίου οἳ δ᾽ μὲν ἐπανιστάμενον,

Σταθμὰ λόγῳ, σιγῇ δὲ μέτρον, καὶ δεσμὰ θέλοντι,
Οὔασι, καὶ στερροῖς ὄμμασι βαλλόμενοι.
Νήλιποι, ἀϋαλέοι, πενθήμονες, οἰοχίτωνες,
Νεκροὶ ἐπιχθόνιοι, ζῶντες ἄνω πραπίσι,
Μεῖζον ἐν ὀφθαλμοῖσι θεοῦ σέλας αἰὲν ἔχοντες,
Ψυχῶν τ' εὐσεβέων κεῖθι χοροστασίην.
Παρθενικὰς δὲ γυναῖκας, ὅσαι κλείουσιν ἄνακτα
Νυμφίον, ἁγνοτάταις μισγόμεναι κραδίαις,
Αἳ Χριστὸν δοκέουσιν ἀκοιμήτοις φαέεσσιν,
Οὔτε μαραινομένας λαμπάδας ἁψάμεναι,
Τίσας, ἐπεὶ δεδάηκας ἐμὸν γέρας, εἴ τιν' ἔτισας
Ἀυλῆς ἡμετέρης ὄμμα φαεινότατον.
Ζωὴ γὰρ πάντεσσι πέλει χάρις, οὔ τέ τις ἐσθλῶν
Ἔσθλ' ἀπάθη, θεσμῷ κιρναμένης φιλίης.
Ναὶ μὴν καὶ τῇσίν γε μέγας νόος ἄρρενι θυμῷ,
Ῥίπτουσαι δολερὴν Εὔαν ἀπὸ κραδίης.
Ναὶ μὴν καὶ τῇσίν γε πέλει χροῒ σάκκος ἐρυμνός,
Καὶ κόνις ἐν δαπέδῳ, φάρμακα σωφροσύνης.
Εὐχαί τε, στοναχαί τε φίλαι, καὶ νύκτες ἄυπνοι,
Καὶ πηγαὶ δακρύων ἔνδοθι λειβομένων.
Γούνατα δ' ἐρρώσαντο, καὶ ἀδρανίης λελάθοντο,
Εὐσθενέων Χριστοῦ δραξάμεναι θυσάνων.
Αἱ δ' ἁπαλαὶ σάρκες τε καὶ εἵματα σιγαλόεντα,
Κάλλος τ' εἰαρινὸν ὥρᾳ μαραινόμενον,
Ἀμφότερον φύσιός τε καὶ ὁππόσον ἔκτοθι χερσὶν
Ἀνδρῶν ἐτείλαντο εἴδεσι μαχλοτέρων,
Εἶξαν ὑπὸ πραπίδεσσι νόου σθένος ἀνδράσιν ἴσας
Θεῖναι θηλυτέρας, καὶ δέμας ὡς σοφίην.
Οὐ μέγα. καὶ Χριστὸν γὰρ ἀπ' οὐρανοῦ ἀστερόεντος
Σαρκὶ σὺν ἀνδρομένῃ γαῖαν ἐπερχόμενον,
Καὶ τέκον ἡμερίοισ' ἁγνῆς διὰ μητρὸς ἰόντα
Παρθένου, ὄφρα νόμον ἀνδρόμεον τελέσῃ
Ἀχράντοισι γονῆσι. καὶ ἐκ τύμβοιο θορόντα
Ἤματι ἐν τριτάτῳ, θερμοτέροισι πόθοις
Πρῶται ἐθηήσαντο, φίλοις τ' ἤγγειλαν ἑταίροις,
Γευόμεναι Χριστοῦ γεῦσιν, ἄκος προτέρης.

Πολλαὶ κε

E xamina oratione,silentio autem modum,& uincula risu.
Auribus,& firmis oculis iniecti,
E xcalciati,aridi,lugubres,soli tunicati,
Mortui terrestres,uiuentes superius mentibus,
Maius in oculis dei lumen semper habentes,
Animarumque piarum ibi chorum,
V irgines autem mulieres,quæcũque laudant regem
Sponsum,sanctissimis mixtum cordibus.
Quæ Christum expectant insomnibus luminibus,
N on flaccescentes faces accendentes,
H onorans,postquam didicisti meũ præmiũ,si quẽ honorasti
Atrii nostri oculum splendidissimum,
C õmunis enim omnibus existit gratia,cũ quis bonorum
Bona patiatur,lege mixta amicitia,
Quippe & his sane magna mens masculo animo,
P roiicientibus dolosam Euam a corde.
Quippe & his sane circa corpus saccus tutus,
Et puluis in solo,medicamenta pudicitiæ,
V otaque,luctusque amici,& noctes insomnes,
Et fontes lachrymarum interius rigatarum,
G enua autem roborarunt,& infirmitatis oblitæ sunt,
Fortia Christi prendentes uestimenta,
H æ molles carnesq; & uestimenta mollia,
Pulchritudoque uerna cito flaccescens,
V trũque naturæque,& quodcunque exterius manibus
Viri triuerunt speciebus lasciuiorum,
C essere sub mentibus mentis robore uiris pares
P onere fœminas,& corpus ut sapientiam,
N on magnum,& Christum enim a cœlo sydereo
Carne cum humana in terram euntem,
E t peperere hominibus sanctam per matrem euntem
V irginem,ut legem humanam perficeret
I mmaculatis genituris,& e sepulchro prosilientem
Die tertio,feruentioribus desyderiis,
P rimæ admiratæ sunt,amicisque nuntiarunt sociis,
Gustantes Christi gustum,medicinam prioris,

M ultæ quidem uero terram inspirant omnem,
Quantam seruator uerbum curat.
A liæ quidem simul congregatæ cōmune desyderium fouētes
C œlestis uitæ, æquosq; modos uitæ.
A liæ uero suis parentibus assidentes infirmis,
Aut fratribus testibus temperantiæ,
V erum mihi, paucæ quidem, uerum pluribus contendo
Lætabundus Christi pulchritudinibus cœlestibus.
A urea quidem lydiis domibus largita est fabula
Ramenta, & fluuii diuitidoni fluxum,
A uriferi autem indis nigricorporibus hauriebant,
Formicæ caua diuitias ab arena
N ilus uero fructuosis irruens campis
T empestiuus, A egyptum fecit ualidam,
A lius autem auibus exultat, alius uero plantis,
A lius uero lapidibus iucundis intus splendentibus.
V erum mihi, omnium exuperantem gloriam dedit
Christus rex, multorum piorum coronam,
Quippe uere paruis deus gratiam semper præbet,
Quemadmodum promissio est antiquior,
B ethleem in prioribus mea nuper ciuitate parua,
Suæ quidem generationi, huic uero utiq; suis amicis
H ic tibi chorus alius mea illustratur a terra,
Qualis optimi pære patriæ nostræ,
A rmeniæ, quæ multum præstans in terra,
Optimam gloriam habet, iniugatorum diuitias
H is gratificatus, paruam mihi quidem o optime,
T ibi autem ipsi magnam scias gratiam præbens,
T ibi ipsi & filiis, caræq; uxori maximas
Diuitias agens, uitæ spem splendidioris.
S iquid uero forsan & meæ sociorum mitissime omnium
A ntiquioris memoriam habes amicitiæ,
N on enim inter pios meum unquam nomen ponam,
N eq; me spernere, non enim decet o amice,
S ed in meis sociis gratiam & gloriam præbere,
Est autem & mei apud plures ratio,

Πολλαὶ μὲν δὴ γαῖαν ἐπιπνείουσιν ἄπασαν,
ὅσσα τίην ἑτέρην μῦθος ἐπιστρέφεται.
Αἱ μὲν, ὁμηγερέεσσι ξεινὸν πόθον ἀμφιέπουσαι
οὐρανίου ζωῆς, ἶσά τε μέτρα βίου.
Αἱ δ' ἀρετῇσι τεκέεσσι περήμεναι ἀδρανέουσιν,
ἠὲ κασιγνήτοις μάρτυσι σωφροσύνης.
Αὐτὰρ ἐμοὶ, παῦραι μὲν, ἀτὰρ πλεόνεσσιν ἐρίζω
γηθόσυνος Χριστοῦ κάλλεσιν οὐρανίοις.
Χρύσεα μὲν Λυδοῖσι δόμοις ἐχαρίζετο μῦθος
ψήγματα, καὶ ποταμοῦ ὀλβοδότοιο ῥόον.
Χρυσοφόροι δ' Ἰνδοῖσι μελαγχρώτεσσιν ἄφυσσον,
μύρμηκες κοίλης πλοῦτον ἀπὸ ψαμάθου.
Νεῖλος δ' εὐκάρποισιν ἐπαΐσσων πεδίοισιν
ὥριος, Αἴγυπτον θῆκεν ἐρισθενέα.
Ἄλλος δ' ὀρνίθεσσιν ἀγάλλεται, ὃς δὲ, φυτοῖσιν,
ὃς δὲ, λίθοις τερπνοῖς ἔνδοθι λαμπομένοις.
Αὐτὰρ ἐμοὶ, πάντων περιώσιον εὖχος ἔδωκε
Χριστὸς ἄναξ, πολλῶν εὐσεβέων στέφανον.
Ἦ ῥ' ἐτεὸν τύμβοισι θεὸς χάριν αἰὲν ὀπάζει,
ὥσπερ ὑπερχωσίῃ ἐστὶ παλαιοτέρῃ.
Βηθλεὲμ ἐν προτέροισιν ἐμῷ νέον ἄστεϊ τύμβῳ,
τῇ μὲν, ἐπεὶ γέννῃ, τῷ δ' ἀρ' ἑοῖσι φίλοις.
Οὔτις τοι ἱερὸς ἄλλος ἐμῆς ἀπολάμπεται αἴης,
οἷος ἀριστοτόκου πατρίδος ὑμετέρης,
Ἀρμενίης. ἣ πολλὸν ἀριστεύουσ' ἐπὶ γαίης,
φέρτατον εὖχος ἔχει, ἀζυγέων ἄφενος.
Τοῖσι χαριζόμενος βαιὸν μὲν ἔμοιγε φέριστε,
σοὶ δ' αὐτῷ μεγάλην ἴσθι χάριν παρέχων.
Σαυτῷ, καὶ τεκέεσσι, φίλῃ τε δάμαρτι μέγιστον
πλοῦτον ἄγειν, ζωῆς ἐλπίδα λαμπροτέρης.
Εἰ δέ τι που καὶ ἐμῆς ἑτάρων ἀγανώτατε πάντων
τῆς ἀρχαιοτέρης μνῆστιν ἔχεις φιλίης,
Οὐ γὰρ ἐν εὐσεβέεσσιν ἐμόν ποτε οὔνομα θήσω,
μὴ δέ μ' ἀτιμάζειν, οὐ γὰρ ἔοικε φίλους.
Ἀλλ' ἐπ' ἐμοῖς ἑτάροισι χάριν καὶ κῦδος ὀπάζειν.
Ἔστι δὲ καὶ ἐμέο πὰρ πλεόνεσσι λόγος.

Εἴκοι μὴ πλεόνεσσι, σὲ δ' ἄξιον αὐτίκα πάντων
Ἄζεσθαι φιλίην ὦ μάκαρ ἡμετέρην.
Ὧ δ' ἂν καὶ πάντεσσι φίλοις κεχαρισμένα ῥέζοις,
Οἷσιν ὁμοῖος τι μὴ εὔαδε τῶν ὁσίων.
Βασιλείῳ δὲ μάλιστα, τὸν, ἔξοχα Χριστὸς ἔτισεν.
Ὃς μέσσος ἀμφοτέρων ἵσταται εἰς ἓν ἄγων
Ἄκρα φίλων. ξυνῷ δὲ πόθῳ συνέδησεν ἀμείνον.
Τῷ, σὺ χαρίζεσθαι πάντα δικαιότατος,
Αἰδόμενος παίδων τε φίλων, καὶ ἥλικα μῦθον,
Καὶ καθαρὰς θυσίας, καὶ πτερόεντα βίον.
Οἷσιν ἔσω σκηνῆς πάντων ἀβάτοιο πόδεσσι
Δεύτερος ἐξ Ἀαρὼν ἱστάμενος μεγάλου,
Καὶ θεὸν ὑψιμέδοντα κατάντιον ὄμματι λεύσσων,
Θνητοὺς ἀθανάτῳ μίγνυσι λισσόμενος.
Κείνῳ μὲν, τὰ ἔμοιγε χαρίζεαι. ὅσσα δ' ἐκείνῳ,
Χριστῷ. τοῦ δὲ χάρις, ἐς πατέρ' οὐδὲ χάρις.
Λίσσομ' ὑπὲρ ψυχῶν, καὶ οὐρανίου βιότοιο.
Λίσσομ' ὑπὲρ μελέων, πνεύματι δαπτομένων.
Δὸς χάριν ἡματίοισι πόνοις, νυχίοισί τ' ἀοιδαῖς.
Δὸς δὲ χαμευνίῃ, λεπταλέοις τε γόοις,
Καὶ τρυχίνοις ῥακέεσσι, καὶ ὄμμασι τηκομένοισι.
Δὸς δὲ νόῳ καθαρῷ. δὸς δ' ἱδρῶσι λόγοις,
Ὄφρ' ἀρετὴν ζώων, ἀρετῆς ὁδὸν ἀμπετάσειας
Πλείοσι, καὶ πλεόνων μισθὸν ἔχοις θεόθεν.
Σπείραις δ' ἔνθα μένοντα καὶ ἄφθιτον ἀμήσαιο
Καρπὸν ἐπουράνιον, πλούσιον ἀντ' ὀλίγων.
Αἴδεο καὶ πολιὴν θεοφιλέα παιδὸς ἐμοῖο
Ἔμπλεον ἀνθρώποις θαύματος ἰσορίην,
Ἀμφότερον, ἐτέων τε κύκλοισι, καὶ ἤθεσι κεδνοῖς.
Ὑστάτιόν τοι ἔπος φθέγξομαι ἀδρανέων.
Ποίμνης ἡμετέρης περιφείδεο, φείδεο ποίμνης
Ὦ τέκος ἡμετέρης, ἧς ῥα περιζομένω.
Καὶ γὰρ πολλ' ἐμόγησα, θεὸς δέ μοι ἐγγυάλιξε
Ποιμαίνειν πολλὰς εἰς ἐτέων δεκάδας.
Σοὶ δὲ θεὸς ὀπάσειεν, ὅσ' εὐσεβέεσσιν ὀπάζει.
Ἄλλά τε, καὶ λιπαροῦ γήραος ἀντιάσαι.

Siquidem non pluribus, te uero dignum pro omnibus sane
Colere amicitiam o beate nostram,
Sic uero & omnibus amicis grata egeris,
Quibus simul honor placuit sanctorum,
Basilio autem maxime, quem egregie Christus honorauit,
Qui medius utrorumq; stat in unum agens
Summa amicorum, cōmuni autē desyderio cōiunxit melius,
Cui, tu gratificari omnia iustissimus,
Reueritus patriamq; amicam, & æqualem sermonem,
Et pura sacrificia, & alatam uitam,
Quibus intra scœnam omnium inaccessam pedibus
Secundus ex Aaron stans magno,
Et deum celsiregem contra oculo intuens,
Mortales immortali miscet precans,
Illi quidem, que mihi gratificaris, quæcūq; autem illi,
Christo, huius aūt gratia in patrem est gratia,
Precor pro animis & cœlestis uita,
Precor pro membris, spiritu laniatis,
Des gratiam diurnis laboribus, nocturnisq; cantibus.
Da autem humisternio, tenuibusq; gemitibus,
Et asperis indumentis, & oculis liquescentibus,
Da autem menti puræ, da uero sacris sermonibus,
Vt uirtutem honorans, uirtutis uiam aperias
Pluribus, & plurium mercedem habeas diuinitus,
Seminaueris autem ubi manentem & incorruptibilem metas
Fructum cœlestem, diuitem pro paucis.
Vereare & canum deiformem parentis mei
Plenam hominibus admirationis historiam,
Vtrunq;, annorumq; circulis, & moribus gloriosis,
Vltimum sane uerbum loquar infirmus,
O uili nostro parce, parce ouili
O fili nostro, cui sane timeo,
Et enim multum laboraui, deus autem mihi tradidit
Pascere multas in annorum decimas,
Tibi uero deus præbuerit quæcūq; piis præbet,
Aliaq;, & pinguem senectutem offendere.

139

T alia patris mei dei sapi. uerum ego equidem
Loquar a nostra scriptura bonum uerbum,
M ensuræ dei, mensuris æquantur nostris,
Quales inuicem hic mensuramus,
T alia dat hominibus deus magnus, sed metiatur
M elioribus meliora, nuncque & postremo,
N uncomnibus hominibus fundamentum, uel pessimum,
V el bonum uitæ proiicitur diurnæ,
E t paruo examini magna possessio cœlestis
Quatitur, momentum autem hinc & inde fert.
E t Christus mortalibus uectigali præsente mixtus est,
Cum Cæsar totam terram describebat,
E t finem ipse dedit mortali deus, ut præberet
Mortalibus seruitii hanc consolationem
R euereare Christi gratiam, & parce populis
R euereare, & tu scriberis librum in cœlestem
B onum, bona scribens, si autem contra rursus alius dicat,
Tamen quidem, sancte melius est scribere,
N on satis quod mortalibus graue iugum duxit primum
Primigeni uitium, & planta homicida,
I nuidiaque draconis, pernitiositasque mulieris,
Gustusque pernitiosus cognitionis contrariæ.
Qui me mortalem reddidit, & in terram ide structus sum
Rursus repellens, molestam effecit uitam,
D oloresque, pugnasque, & in latum dorsum terræ
V ergentem uiuere, uexatum laboribus,
S ed me & pluribus frater doloribus dabit,
Puluis unus, tuque uno positus errore.
N on fas est, neque conuenit, quoniam longe melius est
M edicinam quam laborem ægrotantibus ferre,
H oc tibi nostra munus o optime
Mittit æqualitas, quod tempus non domabit,
G loria A rmeniæ Hellenie, qui sortem habuisti terræ
Statuere nostræ mensuras iustas uectigalium,
E t statueris magni dei cum irreprehensa manu,
V t sancte statueris, neque diuersiclinia m

Τοῖα παιδὸς ἐμοῖο θεόφρονος. αὐτὰρ ἔγωγε
φθέγξομ' ἀφ' ἡμετέρου γράμματος ἐσθλὸν ἔπος.
Μέτρα θεοῦ, μέτροισιν ἰσάζεται ἡμετέροισιν.
Οἷαι περ ἀλλήλοισ' ἐνθάδε μετρέομεν,
Τοῖα δίδωσι μερόπεσσι θεὸς μέγας. ἀλλὰ μετροίη
Κρείσσοσι τὰ κρείσσω νῦν τε καὶ ὕστατιον.
Νῦν πᾶσιν ἀνθρώποισι θεμείλιον, ἠὲ κάκιστον,
Ἠὲ καλὸν βιότου βάλλετ' ἐφημερίου.
Καὶ τυτθῇ πλάστιγγι μέγα κτέαρ οὐρανίοιο
Σείεται. ἡ δὲ ῥοπὴ, ἔνθα καὶ ἔνθα φέρει.
Καὶ χριστὸσ μερόπεσσι φόρου πλέοντος ἐμίχθη,
Ἠνίκα καῖσαρ ὅλην γαῖαν ἀπεγράφετο.
Καὶ τέλοσ αὐτὸσ ἔδωκε βροτῷ θεὸς, ὥσκεν ὁ πάσης
Θνητοῖσ δουλοσύνης τήνδε περιγείλῃ.
Ἄζεο τὴν χριστοῖο χάριν, καὶ φείδεο λαῶν.
Ἄζεο, καὶ σὺ γράφῃ βίβλον ἐς οὐρανίην
Ἐσθλὴν, ἐσθλὰ γράφων. εἰ δ' ἔμπαλιν ἄλλος ἐνίσποι,
Ἔμπαγε μὴν, ὁσίως λώϊόν ἐστι γράφειν.
Οὐχ ἅλισ ὅττι βροτοῖσι βαρὺν ζυγὸν ἤγαγε πρώτη
Ἀρχεγόνου κακίη, καὶ φυτὸν ἀνδροφόνον,
Βασκανίη τε δράκοντοσ, ἀτασθαλίη τε γυναικὸς,
Γεύσατό τ' οὐλομένης γνώσιος αἶψ' ἀπάλου,
Ἥ με θνητὸν ἔθηκε, καὶ ἐσ χθόνα ἔνθεν ἐτύχθην
Αὖθις ἀπωσαμένη, λυπρὸν ἔθηκε βίον,
Ὠδῖνάς τε, μόχθοις τε, καὶ ἐσ πλατὺ νῶτον ἀρούρης
Κύπτοντα ζώειν, τειρόμενον καμάτοισ,
Ἀλλά με καὶ πλεόνεσσιν ἀδελφεὸς ἄλγεσι δώσει,
Χοῦς εἰσ, ἔντε ἰῇ κείμενος ἀπλακίῃ;
Οὐ θέμις, οὐδ' ἐπέοικεν, ἐπεὶ πολὺ λώϊόν ἐστι
Φαρμακὸν ἠὲ πόνον τοῖσ νοσέουσι φέρειν.
Τοῦτό σοι ἡμετέρη ξεινήϊον ὦ παναριστε
Πέμπει ὁμιλικίη, ὃ χρόνος οὐ δαμάσει.
Εὖχος ἀρμενίοισ Ἑλλήνιε, ἴσ χάρις αἴῃ
Στῆσαι ἡμετέρῃ μέτρα δίκαια φέρων.
Καὶ στήσαις μεγάλοιο θεοῦ ζυγὸν ἀμύμονι χειρὶ,
Ὥσκεν ἀγνῶς στήσαις, μὴ δ' ἑτεροκλινέα

Κερδέσιν οὐχ ὁσίοισι δαμεὶς φθόνος. εἰ γὰρ ἅπασιν
ἶσα ταλαντεύεις ὄμμα μέγα ζομέων,
τυτθὴ μὲν πόλις ἐσμέν, ἀτὰρ πολὺ σεῖο φέριστε
δωσόμεν ἀνθρώποις ἡ διοκαισαρέων
οὔνομα, καὶ πινάκεσσι χαράξομεν, οὗτος ἄριστος,
οὗτος ὁ καὶ μώμου κρείσσονα μέτρα φέρων.

ΠΡΟΣ ΙΟΥ
ΛΙΑΝΟΝ.

ὄ Μβρῳ Δευκαλίδαο γαῖαν ἐπέκλυσεν, ὅς μιν ἔδησεν.
Ἄλλος τ' ἐξ ὑδάτων ἥρπασε κόσμον ὅλον.
Καὶ νοῦσός τις ἀρήξεν. ὁ δ' ἐκ πολέμοιο ἐσάωσεν.
Ἄλλος δ' οὐρανόθεν λαὸν ἔθρεψε μέγαν.
Σοὶ δὲ θεὸς χείρεσσι φόρων ἀνέθηκε τάλαντον
κύδιμ' Ἰουλιανὲ ὡς καὶ πάροιθε δίκης,
Ἄρρωπον, ἄκλοπον, ἶσον, ἀοίδιμον. ἀλλὰ φέριστε
φείδεό μοι πτωχῶν, φείδεο σῇ γραφίδι.
Οἷς νόσος ἠΐστωσε φαγέδαιν' ἀπὸ σάρκα τάλαιναν.
φείδεο, καὶ σὺ γράφῃ οὐρανίαις σελίσι.
Τοῖα δίδοι μερόπεσσι θεὸς μέγας ἀντιτάλαντα,
οἷάπερ ἀνθρώποις ἐνθάδε μετρέομεν.
Τῷ βροτέῳ συνάρηξον, ἐπεὶ δέμας ἐστὶν ἅπασι.
Λάζαρος ἐν προθύροις, δὸς ψίχας ἀλλοτρίας.
Καὶ χριστὸς μερόπεσσι φόρου περ ἐόντος ἐμίχθη.
Ἅζεο τὴν χριστοῦ ἡλικίῃ σὺ γραφίδι.
Ἅζεο μητέρα σὴν πτωχοτρόφον. εὐσεβὲς αἷμα,
καὶ δόμον, ὃς μελέοις εὐμενέειν ἐδάη.
Ἅζεο καὶ τὸν ἐμὸν πλοῦτον φίλος, ὃν ῥα πένησι
πάντ' ἀπέδωκα φέρων, σταυροφόροισι πόθοιο.
Ξεινὸς ἐὼν ἀπόροισι λιμήν, ξείνη δέ τ' ἀρωγὴ
τοῖς ἐπιδευομένοις, ἡ δὲ μερὶς κτεάνων,
Ἡμετέρη κτῆσις, σὴ δὲ γραφίς. ἶσον ἔχοιμεν
τῆς πτωχοτροφίης μισθόν. ἄναξ γραφέτω.
Ἦ μὲν δὴ πολλοῖσι θεὸς μέγας ἐκλήϊσεν,
ὁσατίοις ὀλίγοις τὴν χθόν' ἐπερχομένων.
Αἱ μ' ἱερὸν, μῦθοι, κτεάνων σθένος, εἶδος ἀγηνόν.
βήμασι κάρτος ἄγειν αὐσονίοισι νόμοις.

Lucris nephariis domitus mentes, utinā enim omnibus
Paria trutines oculum magnum timens.
Parua quidē ciuitas sumus, uerū longe te præstantissime
Dabimus hominibus diui cæsarensibus
Nomen & tabellis imprimemus, hic optimus,
Hic & Momo præstantiores mensuras ferens.

AD IV-
LIANVM.

h Ymbre sitibundam terram obruit, qui ipsum uinxit,
Aliusq; ex aquis rapuit mundum totum.
Et morbus aliqs auxiliū tulit, hic autem e bellis seruauit,
Alius autem cœlitus populum aluit magnum,
Tibi uero deus manibus uectigalium imposuit trutinam
Gloriose Iuliane ut antea iustitiæ
Immotum, infurtiuum, parem, celebrem, sed præstantissime
Parcas in meā gratiā, pauperibus, parcas tuo stilo,
Quos morbus deleuit exedens carnem miseram,
Parce, & tu scriberis cœlestibus paginis,
Tales dat hominibus deus magnas contrarias trutinas,
Quales hominibus hic metimur.
Mortali coadiuua, quoniam corpus est omnibus,
Lazarus in uestibulis, da micas alienas,
Et Christus hominibus uectigali præsente mixtus est
Vereare Christi æqualem paremq; scriptionem,
Vereare matrem tuam pauperum alumnam, pium sanguinē,
Et domum, quæ miseris benigna esse docta est,
Reuereare & meas diuitias, amice quas quidem pauperibus
Omnes reddidi ferens, cruciferis desyderiis,
Cōmunis pontiuagis portus, cōmuneq; auxilium
Indigentibus, & pars possessionum,
Nostra possessio, tua autem scriptio. æquam habeamus
Pauperum educationis mercedem, rex scribat,
Quippe quidem multis te deus magnus celebrauit,
Quot paucos terram ingredientium,
Sanguis sacer, sermones, possessionum robur, species miranda,
Tribunalibus robur agere ausoniis legibus.

Sed tamen hoc tibi omnium plus mansueti consilii
Manum dei ferre insepultis mortuis.

A NICOBVLO AD PARENTEM.

O Pater si me procreasti, parua gratia. quippe enim omnium
Vna lex hæc a principio simul hominum brutorumque
Flecti amore. rationis autem consilio sapientis,
Procreatos procreantes diurnam uitam trahere,
Et uiuere morientes in aristis suis.
Sed educasti postea. boum uero & fortibus
Vbera subeuntes excutiunt capitibus
Vituli. hæ uero ferunt laborem dulci præ necessitate.
Auis autem implumes filios caro super nido
Circum stridet, & uexatur hinc & inde
Escam errans nutrix inanis & ieiuna.
Amore enim coniunxit natura parentesque filiosque
Cõmenta parentum hoc medicamentum, ut graues
Leuissimis desyderiis leuent dolores.
Quare & acris est iuuenem erga iuuencam mater.
Vt autem canis catulis iuuenibus, & uolucres pullis
Pugnam agit, uaria autem proruit feranimis
Panthera ex nemore, aprorum autem furit robur,
Iuba arborea, pupillæ fax, anhelitus dentibus
Exacuentibus strepitu, gena autem obruitur spuma,
Cupientibus filiis opem ferre, uel domitari
Furor enim hoc persuasit indoctis legibus.
Fuci autem rursus saxis insidentes, siquem uiderint
Prope neque ferentem malum filiis nuper natis,
E saxo effusi, exercitus coactus circa facies
Insonant, aculeisque amaris feriunt uiatorem.
Est & in profundis desyderii lex, si uerum sane
Delphis marinorum regissimus, si quam uiderit
Feram maris infirmis ad nãtem filiis,
Suam genam explicans, intra fœtum rursus excepit
Absorbens ut aliquem, cibum, ne feris fiat.
Neque hic prius e latebra expuit onus incredulum,
Prius quam feræ ualidæ fugiat lugubres minas

Ἀμέμπτης τόδε σοι πάντων πλέον ἠπιόμην,
χεῖρα θεοῖο φέρειν τοῖς ἀτάφοισι νέκυσι.

ΠΑΡᾺ ΝΙΚΟΒΟΎΛΟΥ ΠΡῸΣ ΤῸΝ ΠΑΤΈΡΑ.

Πάτερ, ἐμ' ἔφυσας, βαιὴ χάρις. ἦ γὰρ ἁπάντων
Εἷς νόμος ἐστὶν ἄνωθεν ὁμῶς μερόπων, ἀλόγων τε
Καὶ μίσγεσθαι φιλότητι, λόγου δ' ἰότητι σοφοῖο,
Τικτομένους τίκτοντας ἐφημέριον βίον ἕλκειν,
Καὶ ζωὴν φθινύθοντας ἐπ' ἀσταχύεσσιν ἐοῖσιν.
Ἀλλ' ἔθρεψας ἔπειτα· βοῶν δέ τε καὶ κρατεροῖσιν
Οὔθαθ' ὑποσκαίροντες ἀνακρούουσι καρήνοις
Μόσχοι, τοὶ δὲ φέρουσι μόγον γλυκερῆς ὑπ' ἀνάγκης.
Ὄρνις δ' ἄπτερα τέκνα φίλης καθύπερθε καλιῆς
Ἀμφιποτεῖ τρίζει, καὶ τείρεται ἔνθα καὶ ἔνθα
Μαστεύει ἀλητεύουσα ζοφὸς κενεὴ καὶ ἄπαστος.
Φίλτρῳ γὰρ συνέδησε φύσις τοκέας τε γόνους τε,
Μνησαμένη τοκέων τόδε φάρμακον, ὥς κε βαρείας
Κουφοτάτοισι πόθοισιν ἐλαφρίζουσιν ἀνίας.
Τοὔνεκα καὶ δριμεῖα νέῃ περὶ πόρτακι μήτηρ.
Ὡς δὲ κυνῶν σκυλάκεσσι νέοις, καὶ πτηνὰ νεοσσοῖς
Δῆριν ἄγει, στικτὴ δὲ λέαινα ἀγριόθυμος
Πάρδαλις ἐκ ξυλόχοιο, συῶν δέ τε μαίνεται ἀλκή,
Χαίτην δενδρήεσσα, κόρης σέλας, ἀλμὸς ὀδόντων
Θηγομένων καναχηδά, γένυς δέ τε βάλλεται ἀφρῷ,
Ἱεμένων τεκέεσσιν ἀμυνέμεν, ἠὲ δαμῆναι.
Ὄιστρος γὰρ τόδ' ἔπεισεν ἀδιδάκτοισι νόμοισι.
Σφῆκες δ' αὖ πέτρῃσιν ἐνήμενοι, ἤν τιν' ἴδωνται
Πλησίον, οὐ δὲ φέρονται κακὸν τεκέεσσι νεογνοῖς,
Γεζόθεν ἐκκεχυμένοι, στρατὸς ἀθρόος ἀμφὶ προσώπῳ
Βομβεῦσιν, κέντροις δὲ πικροῖς βάλλουσιν ὁδίτην.
Ἔστι καὶ ἐν βυθοῖσι πόθου νόμος, εἰ ἐτεόν γε
Δελφὶς ἐναλίων βασιλεύτατος, ἤν τιν' ἴδηται
Θῆρ' ἁλὸς ἠπεδανοῖσιν ἐπιπλώοντα τεκέεσσιν,
Ἣν γένυν ἀμπλώσας, εἴσω γόνον αὐτὸς ἔδεκτο
Λαιπῶν ὥστιν ἐδητύν, ὅπως μὴ θηρσὶ γένοιτο.
Οὐδ' ὅγε πρὶν κευθμῶνος ἀνέπτυσε φόρτον ἄπιστον,
Πρὶν θηρὸς κρατεροῖο φυγεῖν στονόεσσαν ἀπειλήν.

Τ ἦμος δ' ἐκ λαγόνων ὠδῖν' ἠρύξατο κούφην.
Τ ῷ, μή μοι γενέσιν προφέρειν, καὶ τυτθὸν ἐδωδήν,
Ἣ ν σύ γε καὶ δμώεσσι τεοῖς καὶ βουσὶν ὀπάζεις,
Ἀ λλά τι τῶνδε περισσὸν ἔχειν χατέω παναριστε
Ὡ ς βροτὸς, ὡς ἀγαθοῖο πατρὸς παῖς. ἀλλ' ἐπίνευσον,
Ἔ ι τινα καὶ δακέθυμον ὁρῶ λόγον, οὐδ' ἐπικεύσω.
Ο ὐκ ἐθέλοντα τέκες με, τεκὼν δ' ἔθρεψας ἀνάγκῃ.
Ἢ ν δὲ τεκὼν μεθέῃς με, βροτὸν τέκες ἀντὶ βροτοῖο.
Ο ὐ χρυσὸν ποθέω, οὐδ' ἄργυρον, οὐδὲ τὰ σηρῶν
Ν ήματα, καὶ λιθάκεσσι μεμιγμένας ἔνδοθεν αὐγάς.
Ο ὐ γαῖαν πολύμεζον ὁμοίϊα κυμαίνουσαν
Ἀ ιγύπτου πεδίοισιν ἀγάσταχυν, οὐ θρεψάντων
Γ ληθὺν, τετραπόδων τε. γάμος δ' ἄλλοισι μεμήλοι
Ὑ ψηλὸς, δέσποιναν ἄγων, τιμώμενον ἄχθος.
Κ αὶ θρόνος, ὃς παύρους πατέων, πλεόνεσσι πατεῖται
Π ολλάκι χειροτόνοισι, τὸ, καὶ πλέον ἦτορ ὀρίνει.
Ἄ λλος γάρ τ' ἄλλοισι τύφος, χθαμαλοὶ δέ τε πάντες,
Ἔ μπεδον οὐδὲν ἔχοντες ἐς αὔριον, ἀλλοτρίοισι
Τ ερπνοῖς φυσιόωντες ἀφιπταμένοισι τάχιστα.
Ἐ ρρέτω ὅσσα φέρει πικρὴ βιότοιο θύελλα
Τ ῇ καὶ τῇ δονέουσα κόνιν πάντεσσιν ἄπιστον.
Τ αῦτα γὰρ ἡ πενίαις μὲν ἔτι φρεσὶν ἔδρακον ἔμπης,
Κ αὶ πινυτῶν ἐσάκουσα, χρόνος δέ τι καὶ πλέον οἴσει,
Ὃ ν πάντες ἐνέπουσι διδάσκαλον ἡμερίοισιν.
Ὦ πάτερ, ἐν προθέω μύθων κράτος αὐτίνυ πάντων.
Κ αλὸν μὲν ῥήτρης πυρόεν μένος, ἔν τ' ἀγορῇσιν,
Ἔ ν τε δικασπολίῃσι, καὶ εὐφήμοισι λόγοισι.
Κ αλὸν δ' ἱστορίης φίλον ἔμπλεος. ἱστορίη γὰρ
Σ υμφέρει τῇ σοφίῃ, πολλῶν νόος. οὐκ ὀλίγον δὲ
Γ ραμματικὴ ξυνοῦσα λόγον, καὶ βάρβαρον ἠχὴν
Ἐ λαύνουσ' εὐγενέος γλώσσης ἐπίκουρος ἀρίστη.
Κ αὶ λογικῆς τέχνης τὰ παλαίσματα, οἷς ὑπ' ἀληθὲς
Κ ρύπτεται, ὁ τρεφθεὶς δὲ λόγος, περίφαντον ἔθηκεν
Ὅ σσοις τ' ἤθεα κεδνὰ διαπλάσσουσιν ἄριστοι,
Ὡ ς τυρὸν πλεκτοῖσιν ἐειδόμενον ταλάροισιν.
Ἠ δ' ὁπόσα πτερόεντι νόῳ λεπταῖς τε μερίμναις
Β ένθεα διφήσαντες, ὁ μὲν, τοῦ, τοῦ δέ τις ἄλλος

Tunc uero exilibus partum euomit leuem,
Quare ne mihi generationem obiicere, & paruam eſcam,
Quam tu quidem & ſeruis tuis & bobus præbes,
Sed aliquid his plus habere quæro optime
Vt homo, ut boni patris filius, ſed annue,
Si quē & animi mordētem dicam ſermonē, neq; cælabo
Non uolentem genuiſti me, genitum uero aluiſti neceſſario,
Si autem genitum dimiſeris me, mortalem genuiſti ꝑmortali,
Non aurum cupio, neq; argentum, neq; ſerum
Fila & lapillis mixtos interius ſplendores,
Non terram immenſam æque undantem
Aegypti campis abundiſpicam, non ſeruorum
Multitudinem, quadrupedumq;, nuptiæ uero aliis curæ ſint
Excelſæ dominam uehentes, honoratum pondus.
Et ſedes, quæ paucos calcans pluribus calcatur
Sæpe deterioribus, quod & magis animum concitat,
Alia enim aliis ſuperbia. Humiles autem omnes,
Firmum nihil habentes in craſtinum, alienis
Oblectamentis intumeſcentes euolantibus celerrime,
Valeant quæcūque fert amara uitæ procella
Hinc & inde nutans puluerem omnibus infidum,
Hæc enim infirmis qdem adhuc mētibus uidi tamen,
Et e doctos audiui, tēpus uero quidā etiā plus afferet,
Quod omnes dicunt magiſtrum hominibus
O pater, unum cupio uerborum uim pro omnibus
Pulchrum qdem elocutionis igneum robur, & in foris
Et in iudiciis, & in fauſtis ſermonibus.
Bonum uero hiſtoriæ mens referta, hiſtoria enim
Coacta ſapientia, multorum intellectus, non paruū autem
Grāmatica poliens ſermonem, & barbaram uocem
Græciæ nobilis linguæ adiutrix optima,
Et logicæ artis luctamenta, ſub quibus uerum
Cælatur, trita autem ratio, perclarum reddidit
Quibusque mores modeſti formant optimi,
Vt caſeum textis aſſimilatum qualis.
Atque quæcūque alata mente, ſubtilibusque cogitationibus
Profunditates quærentes, hic qdem illius huius uero qs alius.

V iri admirati sunt sapientes, librisq; tradiderunt,
A eriorum, terrestriumq; & marinorum naturam inuenerunt,
C œlestiumq; in omnibus dei mentē incōprehensibilis.
Quo modo hoc ducit & quo profert, & in quod desinet
M undus uniuersus multis ornatus interius ornamentis,
V el didicere, uel ea intellexere, quæ nō ē mortalis intelligere,
V erum postq̄ iam hæc pertransiero iuuentute,
Spiritui diuiniori dabo mentes, quæ celauit
B ona peruestigansq;, & in lucem semper gradiens,
E t libramentum uitæ ferens motionibus diuinis,
V t auxiliatorem socium negociationis ducem
C hristum habens, leuibus cum spebus inde eleuer,
E t uitam puramq; & indesinentem sortiar,
N on amplius ueritatis simulachra procul uidens,
V eluti per speculum & aquam infirmia,
I psam autem ueritatem admirans oculis puris,
C uius primū postremūq;, trinitas diuinitus sola ueneranda,
V na lux in triplicibus splendoribus paris deitatis.
A spice matris meæ auunculum magnum, qui supra omnes
S ermonibus prudentibus ornatus, quos collegit
A finibus, linguisq; in pluribus considere faciens
V ltimam clauem orationum fecit Christum,
E t uitam excelsam, in quam pater oculum tendo
E t si paruam humiliorem, sed metiri
M ensuris magnis uitam, mente prudentis uiri,
M elius est secundas partes habere magnoꝝ, q̄ primas paupum,
Quando uolare aquila infra ex sibilante desuper
A ut humi serpentes alaudas supra aerem findere,
H æc pater cupio, tu uero mihi perfeceris desyderium,
Quippe rogo, tuum autem mentum attingo ego sane
Quippe rogito, occasionem aprehendamus, quā accedentem
E st capere, quærere autem prælapsum, fatuum,
T empus plantationis, tempus quoq; terram arandi,
T empus mariuagis soluere rudentes nauium.
T empus uenatoribus per montes feras interimere.
T empus uero rursus belli, flores autem ueris tempus

144

Ἄνδρες ἐθηήσαντο σοφοί, βίβλοισι δ' ἔδωκαν.
Ἠερίων χθονίων τε καὶ εἰναλίων φύσιν εὗρον,
Οὐρανίων τ' αὐτοὶ πᾶσι θεοῦ νόον ἀφάστοιο.
Πῶς τόδ' ἄγει, καὶ ποῖ προφέρει, καὶ εἰς ὅ,τι λήξει
Κόσμος ὅλος πολλοῖσι κεκασμένος ἔνδοθι κόσμοις.
Ἤμαθον, ἢ τὰ, νόησαν, ἃ μὴ θνητοῖο νοῆσαι.
Αὐτὰρ ἐπὴν δὴ ταῦτα διεξελάσω νεότητι,
Γνώματι θεοτέρῳ δώσω φρένας, ἅσσα κέκευθε
Κἀλλὰ ἀνιχνεύων τε, καὶ ἐς φάος αἰὲν ὁδεύων,
Καὶ στάθμην βιότοιο φέρων κινήμασι θείοις,
Ὅς κεν ἀοσσητῆρα συνέμπορον ἡγεμονῆα
Χριστὸν ἔχων, κουφῆσι σὺν ἐλπίσιν ἔνθεν ἀερθῶ,
Καὶ ζωῆς καθαρῆς τε καὶ ἀλήκτοιο τύχοιμι,
Μηκέτ' ἀληθείης ἰνδάλματα τηλόθι λεύσσων,
Ὥς τε δι' ἐσόπτροιο καὶ ὕδατος ἀδρανέοντα.
Αὐτὴν δ' ἀτρεκίην θηεύμενος ὄμμασιν ἁγνοῖς,
Ἧς πέροχον πύματόν τε, τριὰς θεότης μονόσεπτος
Ἔνφαος ἐν τρισσοῖς ἀμαρύγμασιν ἰσοθέοισι.
Δέρκεο μητρὸς ἐμῆς μήτρων μέγαν, ὃς περὶ πάντων
Μύθοισι πυκινοῖσι κεκασμένος, ὅς συνάειρεν
Ἐκ περάτων, γλωσσῇσί τ' ἐνὶ πλεόνεσσι καθίζων,
Ὑστάτιον κληῖδα λόγων ποιήσατο χριστὸν,
Καὶ βίον αἰτήσαντα, πρὸς ὃν πάτερ ὄμμα τιταίνω.
Εἴτοι καὶ βαιὸν χθαμαλώτερον, ἀλλὰ μετρεῖσθαι
Μέτροισι μεγάλοισι βίον πυκινόφρονος ἀνδρός.
Κρεῖσσον δ' αὖτερ ἔχειν μεγάλων, ἤπερ τὰ πενιχρῶν.
Ὡς ἵπτασθ' ἀετοῖο κάτω ῥοιζοῦντος ὕπερθεν,
Ἠὲ χαμαιπετέων κορυδῶν ὑπὲρ ἠέρα τέμνειν.
Ταῦτα πάτερ ποθέω. σὺ δέ μοι τελέσειας ἐέλδωρ.
Ναὶ λίτομαι. τῆς σῆς δὲ γενειάδος ἅπτομ' ἔγωγε.
Ναὶ λίτομαι, καιρὸν λαβώμεθα, ὃν προσιόντα
Ἔστιν ἑλεῖν. ζητεῖν δὲ παραθρέξαντα, μάταιον.
Καιρὸς φυταλιῆς, καιρὸς δέ τε γαῖαν ἀρόσσειν.
Καιρὸς ποντοποροῦσι λύειν πρυμνήσια νηῶν.
Καιρὸς θηρευτῆρσι κατ' οὔρεα θῆρας ἀναιρεῖν.
Καιρὸς δ' αὖ πολέμοιο. τὰ δ' ἄνθεα, εἴαρος ὥρῃ

Τίκτει. ὡς δὲ λόγων ἔσθ᾽ ὥριος ἀνδράσι καιρὸς,
Ἡνίκα θερμότεροι ψυχῶν πνείουσιν ἔρωτες,
Οὐδὲ τύποις πολλοῖσι χαράσσεται ἔνδοθεν ἦτορ,
Ἀλλὰ νεογράπτοις καλοῖς μούνοισι τέθηλε.
Καὶ εἴξαν βιότοιο νέοι βάλλοντ᾽ ἰθὺ γαίης,
Ἐσθλήν τε, στυγερήν τε, τὸ, καὶ φράζεσθαι ἄμεινον
Πείθομεν, ἤ τινα μῦθον ἀρείονα τοῖς δ᾽ ἐπιθῆκα.
Αἰδέομαι τοὺς σοὺς μύθοισι πάτερ, οἷς σύ γ᾽ ἄριστος
Εὐδρομέων γλῶσσάν τε καὶ οὔατα, καὶ νόον ὠκὺν
Ἐν πάντεσσι νόμοισιν ὁμῶς, ἀδέτοις τε δετοῖς τε.
Οὐδὲ μόνοισι πολλοῖσι, τὸ δὴ καὶ θαῦμα περισσόν.
Οἶδέ σε καὶ βασιλεῦσι παρισούμενον μεγάλοισι,
Καὶ μετ᾽ ἀριστήων τιμώμενον, εἴποτ᾽ ἔλῃ γε,
Ἡνίκα θούριον ἔγχος ἀχαιμενίδῃσι τίνασσες.
Καὶ πλούτῳ κομόωντα, καὶ αἵματι, καὶ πραπίδεσσιν,
Εἶδός τε, μέγεθός τε, παλαιοτάτοισιν ὁμοῖος
Αἰακίδῃσιν ἔης, ἢ Αἰτωλῷ Μελεάγρῳ.
Ἀλλὰ καὶ ὥς, μύθοισι πλέον κλήϊσσαν ἁπάντων,
Ἔμπεδον, ἀστυφέλικτον, ἀγήραον, ἄσβεστον, ἐσθλὸν,
Αἰὲν ἐπερχομένοισιν ἀεξόμενον λυκάβασι.
Κλῆρον ἔχειν ποθέω πατρώϊον, ὥς ποτε λόγχην
Σπαρτιᾶται, πέλωρός τε γενύος, πελώριον ὦμον,
Καὶ σκῆπτρον πατέρων εἰς υἱέας αἰὲν ὁδεῦον.
Κεκροπίδαι τέττιγα πλοκάμων ὕπερ υἱέα γαίης
Γηγενέος. καὶ εἶδος ἔχει πατρώϊον εὖχος.
Αἰδόμενοι πόθον. αὐτὸν ἀμύμονα εἶδον ἔγωγε,
Καὶ στυγεροῖσι πόθοισι τέκνων εἴκοντα τοκῆα,
Ὅς τιν᾽ ἀοσσητῆρα νόσου, καὶ τερπνὰ φέροντα
Ἄμμιγα τοῖς ἀγαθοῖσιν, ὅπως τὰ κρείσσονα τερπνοῖς
Φαρμάσσοι. μικρῷ δὲ χερείονι νοῦσον ἐλαύνοι.
Καί τινα καὶ σοφίης ἀδαήμονα, πολλάκι παιδὶ
Ἑσπόμενον προθέοντι λόγοις, καὶ δόντα πόθοισιν
Ὀθνείοις ἀγαθοῖσιν, ὅπως κε χάροιτο γόνοιο.
Αὐτὰρ ἐγὼ κέλομαί σε τὰ μὲν κάλλιστα ποθεῦντι
Ἕσπεσθαι, καὶ χεῖρα φέρειν πάτερ. εἰ δὲ κακοῖσι
Τερποίμην, παίδων με τεῶν ἄπο τηλόθι εἶργον

P arit, sic orationum est tempestiua uiris occasio,
Cum feruentiores animorum spirant amores,
N eq; formis multis imprimitur interius cor.
S ed recenter scriptis bonis solis pululauit,
E t radicem uitæ iuuenes iaciunt in terram,
B onamq;, odiosamq;, quod & consyderare melius
S uademus, uel aliquē sermonē meliorem his addam
V ereor tuos sermones pater, quibus tu optimus
B ene excurrens linguaq; & auribus, & mente celeri
I n omnibus legibus simul, inuinctisq; uinctisq;·
N eq; laboribus multis, quod sane & miraculū maximū,
N oui te & regibus assistentem magnis,
E t cum optimatibus honoratū, si quādo unq̄ fuit,
C um furentem hastam Achæmenidis incutiebas,
Et diuitiis elatum, & sanguine, & prudentiis,
S pecieq; magnitudineq;, uetustissimis similis
A eacidis eras, aut Aetolo Meleagro.
S ed & sic, sermones te plus celebrarunt omnibus,
F irmum. inconcussum, insenescentem, immotū, bonum
S emper accedentibus auctum annis.
H æreditatem habere cupio paternam, ut olim hasta, m
S partiatæ, Pelopisque genus, Pelopeium humerum
Et sceptrum parentum in filios semper ueniens.
C ecropidæ cicadam nexus super filiam terræ
T errigenæ, & speciem habet paternum uotum
V ereare meū desyderiū· ipsum irreprehensum noui ego
E t odiosis desyderiis filiorum cedentem patrem,
V eluti quēdam auxiliatorem morbi, & oblectamenta ferentē
C ōmixtim bonis, ut meliora iucundis
T emperet. paruo autem deteriori morbus abigat.
E t aliquem & sapientiæ ignarum, sæpe filium
S equentem cupientem sermones, & dantem desyderiis
E xternis bonis, ut gratificetur filio·
V erum ego iubeo te optima quidem cupientem
S equi, & manum ferre pater. si autem malis
D electer, filiis me tuis eminus proiice

145

τε. ἐκ δὲ τῆς πόλεως ἐκείνης, πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν σαμα-
ρειτῶν, διὰ τὸν λόγον τῆς γυναικός, μαρτυρούσης ὅτι εἶπέ μοι πάν-
τα, ὅσα ἐποίησα. ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ σαμαρεῖται, ἠρώ-
των αὐτὸν μεῖναι παρ᾽ αὐτοῖς. καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. καὶ
πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ. τῇ τε γυναικὶ
ἔλεγον, ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν. αὐτοὶ γὰρ ἀκη-
κόαμεν, καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου, ὁ
χριστός. Μετὰ δὲ τὰς δύο ἡμέρας, ἐξῆλθεν ἐκεῖθεν, καὶ ἀπῆλθεν
εἰς τὴν γαλιλαίαν. αὐτὸς γὰρ ὁ Ιησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν
τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει. ὅτε οὖν ἦλθεν εἰς τὴν γαλιλαίαν,
ἐδέξαντο αὐτὸν οἱ γαλιλαῖοι, πάντα ἑωρακότες, ἃ ἐποίησεν ἐν ἱερο-
σολύμοις, ἐν τῇ ἑορτῇ. καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν. ἦλθεν
οὖν πάλιν ὁ Ιησοῦς εἰς τὴν κανὰ τῆς γαλιλαίας, ὅπου ἐποίησε τὸ
ὕδωρ οἶνον.

Τῇ δευτέρᾳ τῆς τρίτης ἑβδομάδος.

περὶ τοῦ βασιλικοῦ.

Καὶ ἦν τις βασιλικός, οὗ ὁ υἱὸς ἠσθένει ἐν καπερναούμ. οὗτος ἀκούσας
ὅτι Ιησοῦς ἥκει ἐκ τῆς ἰουδαίας εἰς τὴν γαλιλαίαν, ἀπῆλθε
πρὸς αὐτόν, καὶ ἠρώτα αὐτόν, ἵνα καταβῇ, καὶ ἰάσηται αὐτοῦ
τὸν υἱόν. ἤμελλε γὰρ ἀποθνήσκειν. εἶπεν οὖν ὁ Ιησοῦς πρὸς αὐτόν,
ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε. λέγει πρὸς αὐ-
τὸν ὁ βασιλικός, κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸν παῖδά μου.
λέγει αὐτῷ ὁ Ιησοῦς, πορεύου, ὁ υἱός σου ζῇ. καὶ ἐπίστευσεν ὁ ἄνθρω-
πος τῷ λόγῳ, ᾧ εἶπεν αὐτῷ ὁ Ιησοῦς, καὶ ἐπορεύετο. ἤδη δὲ αὐτοῦ
καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ὑπήντησαν αὐτῷ, καὶ ἀνήγγει-
λαν λέγοντες, ὅτι ὁ υἱός σου ζῇ. ἐπύθετο οὖν παρ᾽ αὐτῶν τὴν ὥραν,
ἐν ᾗ κομψότερον ἔσχε, καὶ εἶπον αὐτῷ, ὅτι χθὲς ὥραν ἑβδόμην, ἀφῆ-
κεν αὐτὸν ὁ πυρετός. ἔγνω οὖν ὁ πατὴρ ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν
αὐτῷ ὁ υἱός σου ζῇ, καὶ ἐπίστευσεν αὐτὸς, καὶ ἡ οἰκία αὐτοῦ ὅλη. τοῦτο
πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ιησοῦς ἐλθὼν ἐκ τῆς ἰουδαί-
ας εἰς τὴν γαλιλαίαν. Μετὰ ταῦτα, ἦν ἡ ἑορτὴ τῶν ἰουδαίων, καὶ
ἀνέβη ὁ Ιησοῦς εἰς ἱεροσόλυμα. ἔστι δὲ ἐν τοῖς ἱεροσολύμοις, ἐπὶ τῇ
προβατικῇ, κολυμβήθρα, ἡ ἐπιλεγομένη ἑβραϊστὶ, βηθεσδὰ, πέντε
στοὰς ἔχουσα. ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων.
τυφλῶν. χωλῶν. ξηρῶν. ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν.

ἄγγελος

Ζήτει τὸ λοιπὸν ἐν τῷ μέσῳ τοῦ ἐφεξῆς τετραδίου.

istis. Ex ciuitate autem illa multi crediderunt in eum samaritãorũ ppter uerbũ mulieris testimõiũ phibẽtis, qa dixit mihi omnia quæcũq; feci. Cum uenissent ergo ad illum Samaritani rogauerunt eum ut ibi maneret. Et mansit ibi duos dies, & multo plures crediderunt propter sermonem eius. Et mulieri dicebant, quia non propter tuã loquelã credimus. Ipsi enim audiuimus & scimus, quia hic est uere saluator mundi Christus. Post duos autem dies exiit inde, & abiit in galilæam. Ipse enim Iesus testimoniũ perhibuit, quia ppheta in sua patria honorem nõ habet. Cum ergo uenisset in galilæam exceperunt eum galilæi, cũ omnia uidissent, quæ fecerat hierosolymis in die festo. Et ipsi enim uenerant ad diẽ festum. Venit ergo iterum Iesus in Cana galilææ, ubi fecit aquam uinum.

Secunda tertiæ septimanæ

De Regulo.

Et erat qdã rgulus cui⁹ fili⁹ ĩfirmabat capharnaũ. Hic cũ audisset quia Iesus adueniret a Iudæa in galilæam, abiit ad eum & rogabat eum ut descenderet & sanaret filium eius. Incipiebat enim mori. Dixit ergo Iesus ad eum. Nisi signa & prodigia uideritis non creditis. Dicit ad eum Regulus. Domine, descende priusq̃ moriatur filius meus. Dicit ei Iesus. Vade filius tuus uiuit credidit homo sermoni, quem dixit ei Iesus, & ibat. Iam autem eo descendente serui occurrerunt ei, & nuntiauerũt dicẽtes qa fili⁹ ei⁹ uiueret. Interrogabat ergo horã ab eis in qua melius habuerit & dixerunt ei, quia heri hora septima reliqt eũ febris. Cognouit ergo pater qa illa hora erat in qua dixit ei iesus filius tuus uiuit, & credidit ipse, & domus eius tota. Hoc iterum secundum signum fecit Iesus cum uenisset a iudæa in galilæam. Post hæc erat dies festus iudæorum & ascendit Iesus hierosolymam. Est autem hierosolymis probatica piscina, quæ cognominatur hebraice Bethsaida quinq; porticus habens. In his iacebat multitudo magna languentiũ cæcorum, claudorum, aridorum expectantium aquæ motum.

Angelus

Quære reliquum in medio sequentis quaternionis.

146

Vt spurium, nobilis rheni iudicatum fluentis,
Vel purarum aquilarum falsum fœtum radiis.
Da gratiam, quæ patris est magis, q̃ filiis optime,
Contra ruens a filio in patrem,
Gloria est enim parentibus filiorum gloria, ut filiis
Suorũ parentum, cõmunis uero gratia & cõmune obprobriũ,
Iam & stadiis totam uitam excusserunt,
Saltus honore ꝓsequuti incõmodos, & cædem uirorum,
Ferarũq; occisarum inania sapientes, ut ciuibus
Oblectamenta ferre, & gloriã habere supremam cæterorum,
Popularibus oribus celebratum non diu post,
Alii certatoribus uictum & diuitia hauserunt,
Circa puluerem laborantibus inania, aurigisq;
Aduersa insanientibus sub aduersariis spectatoribus
Vibratis utrinq; in aerem, libidinibus alii
Virorum fœminarum flexuosam delectationem habentes,
Et mimorum umbrosis Alapis, a quibus gena
Nudatur, strepens ridiculum pro luctu,
Talia enim insaniunt, suam uitam inter medios
Ludentes maleficum, quæ enim didicere, docuerunt,
Et merces solis malorum non ensis acutus,
Sed opes & diuitiæ, quoniam affectuum auxiliatores.
Facile uero optime se gerunt inter stultos pessimi.
Illi quidem talia, & quæ adepti sunt pessime,
Deterius proiecere, iustitia autem recta astitit,
Tibi uero deus præbuerit quæq; desyderas, qui optimus
Manum porrigere filiis, & quibus impertiri melius,
Aliis superuacanea, beata autem, nobis præbueris,
Non enim multa uolo, multo autem tu dignus ipse
Esse, ut a patribus non procul longe abigere,
Quæ gratia si tu simiam habeas mortalis formæ noxam
Aureis laqueis collum circundatum?
Non enim ornatus imutauit ridiculam formam leuem,
Quæ autem gratia asino ferre auri talenta?
Asinus & inauratus ualde existens ruditum canit,
Neq; gratia plumbi structos enses occultare

147

Ὡς νόθον, εὐγενέος ῥήνου κριθέντα ῥεέθροις,
Ἢ καθαρῶν αἰετῶν ψευδῆ γόνον ἀκτίνεσσι.
Δὸς χάριν, ἣ παιδός ἐστι πλέον ἢ παιδὸς ἀρίστη,
Ἔμπαλιν ἀΐσσουσα παρ' υἱέος ἐς γενετῆρα.
Κῦδος γὰρ τοκέεσσι τέκνων κλέος, ὡς τεκέεσσιν
Ὧν τοκέων. ξείνη δὲ χάρις, καὶ ξεῖνον ὄνειδος.
Ἤδη καὶ σταδίοισιν ὅλον βίον ἐξετίναξαν,
Ἅλματα τιμήσαντες ἀναρσία, καὶ φόνον ἀνδρῶν,
Θηρῶν τ' ὀλλυμένων κενεόφρονες, ὡς ἀθλητὰς
Ἦρα φέρειν, καὶ κῦδος ἔχειν περιώσιον ἄλλων,
Γανδήμοισ στομάτεσσι βοώμενον οὐκ ἐπὶ δηρόν.
Ἄλλοι ἀεθλευτῆρσι βίον καὶ πλοῦτον ἄφυσσαν,
Ἀμφὶ κόνιν μογέουσιν ἐτώσια, ἠνιόχοις τε
Ἀντίπαλ' ἀφραδέουσιν ὑπ' ἀντιπάλοισι θεηταῖσ
Παλλομένοις ἑκάτερθεν ἐς ἠέρα. ὕβρεσιν ἄλλοι
Ἀνδρῶν θηλυτέρων πολυκαμπέα τέρψιν ἔχοντες.
Καὶ μίμων σκιεροῖσι ῥαπίσμασιν, οἷς ὑποκόρσῃ
Γυμνοῦται, ψοφέουσα γελοίϊον ἀντὶ γόοιο.
Τοῖα γὰρ ἀφραδέουσιν, ἑὸν βίον ἐν μεσάτοισι
Παίζοντες κακοεργόν. ἃ γὰρ μάθον, ἐξεδίδαξαν.
Καὶ μισθὸς μώμοισι κακῶν ὃ φάσγανον ὀξύ,
Ἀλλ' ἄφρονος καὶ πλοῦτος, ἐπεὶ παθέων ἐπιτρωγοί.
Ῥεῖα δ' ἀριστεύουσιν ἐν ἀφραδέεσσι κάκιστοι.
Κεῖνοι μὲν δὴ τοῖα. καὶ ἀκτήσαντο κακίστως,
Χεῖρον ἀπερρίψαντο, δίκη δ' ἰθεῖα πρέσῃ.
Σοὶ δὲ θεὸσ ὀπάσειε τά τ' ἔλδεαι, ὅς περ ἄριστος
Χεῖρ' ὀρέγειν τοκέεσσι, καὶ οἷς δατέεσθαι ἄμεινον.
Ἄλλοισιν τὰ περισσὰ, τὰ δ' ὄλβια, ἡμῖν ὀπάζοισ.
Οὐ γὰρ πόλλ' ἐθέλω, πολλοῦ γε μὲν ἄξιος αὐτὸς
Ἔμμεναι, ὡς πατέρων μὴ τηλόθι πολλὸν ἐλαύνειν.
Τίς χάρις ἢν σὺ πίθηκον ἔχῃς, βροτοειδέα λώβην,
Χρυσείοισι βρόχοισι δέρην περιγυρωθέντα;
Οὐ γὰρ κόσμοσ ἄμειψε γελοίϊον εἶδοσ ἐλαφρόν.
Τίς δὲ χάρις κάνθωνι φέρειν χρυσοῖο τάλαντα;
Κάνθων καὶ πολύχρυσος ἐών, ὀκνηθμὸν ἀείδει.
Οὐ δὲ χάρις μολίβοιο τετυγμένα φάσγανα κεῦθειν

Ἀργυρέοις κολεέσσι, τὰ μὴ πολέμοισιν ὄνειαρ.
Τοῖος γὰρ βροτός ἐστιν, ὅτ' ἔκτοθε μοῦνον ἀέρθη.
Τέρμα λόγου τόδ' ἄκουε, θεὸς δ' ἐπιμάρτυρος ἔστω.
Καί γ' οὖν καὶ θεός ἐστι λόγος θνητοῖσιν ἀναύδων.
Ταῦτα πάτερ παρ' ἐμεῖο, φύσις, τόκος, ἄσπετος ἱδρὼς,
Ἤματά τε νύκτας τε διηνεκὲς εἰς ἓν ἀγείρειν.
Τἆλλα δέ μοι πρήσσειο, θεὸς, χρόνος, ἐλπὶς ἀρείων.
Μὴ λήγειν θήγοντα προφασίῃσιν ἑταίρων.
Καὶ γὰρ καὶ δρυτόμῳ πέλεκυς σθένος ἐστὶν ἄριστον.
Μὴ σύ γε μὴ πόντον περιδείδιθι, μὴ σύ γ' ὁδοῖο
Μῆκος, μὴ κτεάνων περιφείδεο, μὴ τέ τευ ἄλλου
Τῶν, ὅσα τὴν μεγάλην ἀρετὴν θνητοῖσιν ὀφέλλει.
Πολλῶν τοι κτεάνων προφερέστερος εὔχομαι εἶναι,
Πρωτότοκος καὶ πρῶτος, ἐς οὔνομα πατρὸς ἀείρας,
Εἴ τινα καὶ τόδ' ἔχει γονέταις χάριν, ὥσπερ ὀΐω.
Εἰ δὲ σέ γ' ἢ κτεάνων αἱρεῖ πόθος, ἤ σέ γε παιδὸς
Θηλυτέρος, μαλακὸς, μηταῖος ἐγγύθι πίπτων,
Φλὸξ καλάμης ἀΐσσα, μαραινομένη τε τάχιστα,
Φθέγξομαι, οὐκ ἐθέλων μὲν, ἀτὰρ σύ με καὶ τὸ, κελεύεις.
Οὔποτέ σοι φιλόπαιδος ἐγὼ πάτερ οὔνομ' ἀναίνω,
Ἀλλὰ πάτερ σῷ παιδὶ πέλοις θεὸς ἀντὶ βροτοῖο.
Μὴ φράξῃς πηγὴν ποταμὸν μέγαν ὠδίνουσαν,
Μὴ δὲ φάος λύχνοιο θάνοι, λήγοντος ἐλαίου.
Ἢ φυτὸν οὐ δροσερῇσι πιαινόμενον προχοῇσιν.
Οἶγε. θρέπτον. ἔπειτα, ῥόον, φάος, ἔρνος ἀέξων.
Μῆτερ ἐμὴ, σὺ δ' ἐμῇσι λιταῖς ἐπάρηγε καὶ αὐτὴ,
Ὄφρα κεν ἀμφοτέροισι χαρίσιον ὕμνον ἀείσω.
Μὴ δὲ μόνον πηλοῖο ὑπέρτεσιν εὔαδε λέξαι
Φρασσαμένοις, ὅτι σαρκὶ περιζομένουσι τοκῆες,
Ἀλλὰ καὶ ἀθανάτων ψυχῶν γονέτας καλέεσθαι.

ΝΙΚΟΚΛΟΥ ΠΡΟΣ ΤΟΝ ΥΙΟΝ.

Τέκνον ἐμὸν, μύθοις ἐπιθέων, ποθέεις τὰ φέριστα.
Καὐτὸς γοῦν μύθοισιν ἐπιτέρπομαι, οὓς περ ἔδωκε
Χριστὸς ἄναξ μερόπεσσι, βίου φάος, οἷον ἀπ' ἄλλων
Δῶρον ἐπουρανίης ἐξ αἴτυγος. οὐδὲ γοῦν αὐτὸς
Αἰρόμενος πολλῇσιν ἐπωνυμίῃσι γέγηθεν,

A rgenteis uaginis, quæ bellis non sunt utilitas,
T alis enim est homo, cum extrinsecus solū eleuatus fuerit,
F inem orationis hunc audi, deus autem testis adsit.
E t enim & deus est ratio hominibus imperans.
Hæc pater a me, natura. mos, infinitus sudor,
D iesq; noctesq; continue in unum cogere.
A lia uero mihi abs te, deus, tempus, spes melior
N e desinere acuentem monitis sociorum,
Et enim & lignatori securis robur est optimum,
N e tu quidem ne mare horreas, ne tu quidem uiæ
L ongitudinem, ne facultatibus parcas, neq; alicui alii rei
E orum quæ magnam uirtutem mortalibus augent,
Multis quidem facultatibus præstantior glorior esse,
P rimigena & primus, in nomen patris sublatus,
S iquam & hoc habet parentibus gratiam, ut existimo.
S i uero te quidem uel facultatum tollit cupido, uel te qdē filia
Effœminatior, mollis, maternus prope cadens,
F lamma e stipula ascendens, marcensq; celerrime,
D icam, non uolens quidem, uerum tu mihi & hoc iubes,
N unq̄ tibi dilectoris filii ego pater nomen applicabo,
V erum pater tuo filio sis deus pro homine,
N e obstruas fontem fluuium magnum parturientem,
N eq; lux lucernæ moriatur, desinente oleo,
V el plantam non rorulentis crassescentem hostiis,
A peri, ale, riga, fluentum, lucem, ramum augens,
M ater mea, tu uero meis precibus fer opem & ipsa,
V t utrisq; gratiarium hymnum concinam,
N eq; solum luti quod non nullis placuit dicere
C onsyderantibus, quod carnibus timent parentes,
Sed & immortalium animorum parentes uocem.

NICOCLI AD FILIVM.

f Ili mi, sermones cupiens, cupis optima,
Et ipse enim sermonibus delector, quos tradidit
Christus rex hominibus, uitæ lucem, quale a cæteris
D onum cœlesti e curru, neq; enim ipse
E latus multis appellationibus delectatus est,

A liud quid ante uerbum uocatus, ſed audi
S ermonem meum, patris autem monitus eſt optimus,
E t canities, iuuentute plus habet, hiſtoriam enim
T empus, hiſtoria uero genuit ſapientiam alatam,
Quapropter mea uerba animaduertas, & enim melius
F ili mi, in cæteris quidem patre & melior fueris.
G audet enim pater ſuperatus a filio bono,
E t plus, quam omnes ſuperare diuinis legibus,
Quibus hoc uniuerſum colligauit pater magnus. e uerbo aūt,
F irmum ſtabiliuit ſuam poſſeſſionem pamans,
I llud tamen uolo te paternum o fili habere,
P udorem maiorem, quam nunc parentibus oſtendiſti.
F ilius & ego fui boni patris, ſed hoc non dum
V enit a noſtris oribus uerbum, neq; ſub dentibus.
N eq; enim neq; deo gratum eſt uerbum,
O pater, ſi me genuiſti, parua gratia, non enim mihi ſane,
T uo autem deſyderio, tuæ carni gratificans me plantaſti.
S ed educaſti poſtea? cur enim genuiſti? quam ingrata
V ox, & mundi ſolutio, magnæq; generationis.
A more quidem colligauit natura parentesq; filioſq;,
N e labor erga filios abſcinderet parentes,
E t morti gigneremus incurioſi eorum quos genuimus,
Quapropter & bellum graue ſuis pro filiis parentes
S tatuunt. quippe enim dixiſti uerum uſq; ad mortem.
F uci, pantheræq;, boues, apri piſces, aues,
O mniū rurſus ſupra cætera mortaliū genus, ſi autem legibus
T ot ceſſerimus, tota uita perit obſcura,
Quis enim amplius filium complectetur, aut optima
P recabitur, aut cupienti ſermones, aut aliud qppiā an nuet?
Quis partem facultatum imptietur ut decet?
S i debitum, non gratia eſt, quod a patre filius ceperit,
E t nihil quidem habens pudoris legem extra iaciat;
Bene aūt paſſus, ingratam habere linguamq; mentemq;.
A nimaduerte uero ſi tibi quis occurreret mente præditus
N on ſolum hominum nos genus, ſed dei,
H orum antea. parentes uero ſecunda ſunt filiis

Ἄλλο τι πρόσθε λόγοιο καλεύμενος. ἀλλ' ἐσάκουε
Μῦθον ἐμὸν, παιδὸς δὲ πρόφασις ἐστὶν ἀρίστη.
Καὶ πολιῇ, νεότητος ἔχει πλέον. ἰσορρίην γὰρ
Ὁ χρόνος, ἰσορρίη δὲ τέκεν σοφίην περιβρύουσαν.
Τοὔνεκ' ἐμῶν ἐπέων ἐμπάζεο, καὶ γὰρ ἄμεινον.
Τέκνον ἐμὸν, τὰ μὲν ἄλλα, παιδὸς καὶ φέρτερος εἴης.
Χαίρει γάρ τε πατὴρ ἡσσώμενος υἱέος ἐσθλοῦ.
Καὶ πλέον, ἢ πάντων κρατέων θείοισι νόμοισιν,
Οἷς τόδε πᾶν συνέδησε πατὴρ μέγας. ἐκ δὲ λόγοιο,
Ἔμπεδον ἐστήριξεν ἑὸν κτέαρ ἀμφαγαπάζων.
Κεῖνο γε μὴν ἐθέλω σε παιδίον ὦ τέκος ἴσχειν,
Αἰδῶ πλειοτέρην, ἧς νῦν τοκέεσσιν ἔφηνας.
Παῖς καὶ ἐγὼ γενόμην ἀγαθοῦ παιδὸς, ἀλλὰ τόδ' οὔπω
Ἦλθεν ἀφ' ἡμετέρων στομάτων ἔπος, οὐδ' ὑπ' ὀδόντι.
Οὐδὲ γὰρ οὐδὲ θεῷ κεχαρισμένος ἐστὶν ὁ μῦθος.
Ὦ πάτερ, εἴ μ' ἔφυσας, βαιὴ χάρις. οὐ γὰρ ἔμοιγε,
Σοὶ δὲ πόθῳ, σῇ σαρκὶ χαριζόμενος μ' ἐφύτευσας.
Ἀλλ' ἔθρεψας ἔπειτα; τί γὰρ τέκες; ὡς ἀχάριστος
Φωνὴ, καὶ κόσμοιο λύσις, μεγάλης τε γενέθλης.
Φίλτρῳ μὲν συνέδησε φύσις τοκέας τε γόνους τε,
Ἢ μόγις ἀμφὶ τέκεσσιν ἀπορρήξειε τοκῆας.
Καὶ θανάτῳ τίκτομεν ἀκηδέας ὧν τεκόμεσθα.
Τοὔνεκα καὶ μῦθον αἶνον ἑοῖς περὶ παισὶ τοκῆες
Ἴσαν τ'. ἦ γοῦν ἔλεξας ἐτήτυμον ἄχρι μόροιο.
Σφῆκες, πορδάλιές τε, βόες, σύες, ἰχθύες, ὄρνιθες,
Γαύτων δ' αὖ περίαλλα βροτῶν γένος. εἰ δὲ νόμοισι
Τόσσοις εἰ καθέοιμεν, ὅλος βίος οἴχετ' ἄϊστος.
Τίς γὰρ ἔθ' ἥκα προσπτύξεται, ἢ τὰ φέριστα
Εὔξεται, ἢ ποθέοντι λόγοις, ἢ ἄλλο τι νεύσει;
Τίς μοῖραν κτεάνων ἀποδάσεται ὡς ἐπέοικεν;
Εἰ χρέος, οὐ χάρις ἐστὶν, ὅκεν παιδὸς υἱὸς ἔλησι.
Καὶ μηδὲν μὲν ἔχων αἰδοῦς νόμον ἔκποθι βάλλοι.
Εὖ δὲ παθὼν, ἀχάριστον ἔχειν γλῶσσάν τε νόον τε.
Σκέπτεο δ' εἴ κεν σοί τις ἀπαντήσειεν ἐχέφρων.
Οὐκ οἷον μερόπων ἡμεῖς γένος, ἀλλὰ θεοῖο,
Τῶν δὲ πάρος. πατέρας δὲ, τὰ δεύτερά εἰσι τέκεσσιν

Ὄ ργανα τῆς Χριστοῖο θεοῦ μεγάλοιο γενέθλης.
Γ αῖαν ἔλεν, δῶκεν δὲ νόον. μικτὸν δ' ἀνέδειξεν
Ἓ ν γένος ἀμφοτέρωθεν, ἐπιχθόνιον βασιλῆα,
Σ ῶμα κακοφρονέοντα, θεὸν θετὸν εὐσεβέοντα,
Π ολλοῖσίν τε κακοῖσι κυκώμενον ἔνθα καὶ ἔνθα,
Ὥ σ κεν ἐνὶ πλεόνεσσιν ἀκαμπέα θυμὸν ἔχωμεν.
Ἀ λλ' οὔπω τίς τόσσον ἀπὸ φρενὸς ἤλυθεν ἐσθλῆς,
Ο ὐδὲ τόσον νεότητος ἀπηνέος αἷμα τι βράσθη,
Ὡ ς τόδ' ἀπὸ στόματος ῥῆξαι κακὸν ἀντιθέοιο.
Ο ὐκ ἐθέλων τά μ' ἔοργας, ἐπεὶ δέ μ' ἔοργας, ἔτισας.
Ἢ ν δὲ πλάσσας μεθέῃς με, βροτὸν πλάσσας ἀντὶ βροτοῖο,
Δ ὸς σοφίην, δὸς πλοῦτον, ἐπεὶ πλεόνεσσιν ἔδωκας.
Δ ὸς μέγεθος καὶ κάλλος ἐν ἄστεσι πρῶτα φέρεσθαι,
Θ εῖον ἔγχος ἔχειν, νόσοις δέμας οὐχ ὑποεικτὸν,
Ἅ λλά τε, οἷος μέγας ὄλβος ἐν ἀνθρώποισι μεζεῖται.
Ἠ χῆ σοῦ θυσίαις τε καὶ εὐχωλῇσι γεραίρειν.
Ο ὐ γὰρ ἐμοί τι νέμοιον δήσας ψυχήν τε δέμας τε.
Κ ύδεος ἱμείρων δὲ προήγαγες, ὥς περ ἅπαντα,
Ὡ ς καὶ ἐπιχθονίοισιν ἀοίδιμος ὦ μάκαρ εἴης.
Τ αῦτα θεοσυνέεσσι καὶ ἀφραδέεσσι δεδόσθω,
Ο ἷς πλοῦτος θεός ἐστι κακοῦ πλαστῆρος ὀπηδοῖς.
Ἡ μεῖς δ' ἐν πάντεσσι θεὸν μέγαν ὑμνείωμεν,
Ἐ σθλοῖς τε συνεργοῖς τε. σὺ, γοῦν τεκέων ἐρατεινῶν.
Κ αὶ μετὰ πρῶτον ἄνακτα ἐπιχθονίους γενετῆρας,
Ο ἵ με φαλους ἔπλησαν, ἀφ' ὧν τριὰς εἰς ἓν ἰοῦσα,
Κ αὶ λάμψε πρῶτ' εἴδεσσιν ἐμαῖς, καὶ πᾶσι φαείνει.
Σ ιγήσω κόσμοιο κύκλον μέγαν, οὐρανὸν εὐρὺν,
Ὄ μμασι παμφανόωντα διαυγέσι, νῶτα θαλάσσης
Ἀ υτῆς ἱσταμένης τε, τὸ δὴ καὶ θάμβος ἔμοιγε.
Γ αῖαν ἐΰστερνον, ποταμῶν ῥόον, ἠέρα πυκνὸν,
Ὥ ρας, ἄνθεα τερπνὰ, βροτῶν φύσιν, ἠδρίων τε,
Ὅ σα θεὸς προὔθηκεν ἐμοῖς φαέεσσι τράπεζαν,
Τ αῦτα πατὴρ μεγάλοιο παιδὸς πάρ' ἔδωκεν ἔμοιγε.
Τ ῷ, μή μοι τοίοισιν ἀμείβεσθαι γενετῆρα
Θ αρσαλέως, καὶ θάρσος, ἔφυ θρασσος ἐκχυθῇ μέζον.
Μ ή σοι τίς καὶ τοῖος ἀπ' οὔατος ἡμετέροιο

Instrumenta Christi dei magni generationis,
T erram cepit, deditq; mentem, mixtumque ostendit
V num genus utrinque, terrestrem regem,
C orpore male sapientẽ, deum positiuum pietatem colentem,
M ultisque malis interturbatum hinc & inde.
V t in pluribus inflexum animum habeamus,
Sed nondum quis tantum a mente uenit bona,
N eque tantum iuuentutis immitis sanguine efferbuit,
V t hoc ab ore prorumperet malum diis inimico.
N on uolentem me fecisti, postq̃ autẽ me fecisti, honorasti.
S i autem formatum dimiseris me, mortalẽ formans ꝓ mortali,
D a sapientiam, da diuitias, quonia m pluribus dedisti.
D a magnitudinem & pulchritudi nem ut in urbibus excellam
F ortem hastã habeam, morbis corpus non subiectum,
A liaque qbus magnæ opes in hominibus mensurantur
V el cessabo sacrificiisque & precibus honorare.
N on enim mihi aliquid tribuens, ligasti animũq; corpusque,
G loriam autẽ desyderans ꝓduxisti, quẽadmo dũ omnia,
V t & terrestribus celebris o beate sis,
H æc odiosis deo & inconsultis dentur,
Quibus diuitiæ deus sunt mali fictoris sequacibus,
N os autem in omnibus deum magnum celebremus,
B onisq; odiosisque, hoc enim filiorum amabilium.
E t post primum regem ter restres parentes,
Qui me luce repleruut, a quibus trinitas in unum ueniens,
E t splenduit mentibus meis, & omnibus apparuit,
T acebo mundi circulum magnum, cœlum latum,
O culis lucentia transparentibus, terga maris
I psius ftantisque, quod sane & mirum mihi quidem,
T erram postea, fluuiorum fluxum, aerem spirabilem,
T empora flores iocundos, mortaliũ naturam, aeriorumque,
Quæcũque deus proposuit meis luminibus mensam,
Hæc pater magno a patre dedit mihi quidem
Quare. ne mihi talia respondere genitori
C onfidenter, & fiducia euasit audacia extra modum,
N e tibi aliquis & talis ab aure nostra

150

Fili calidiore a patre uerbum ueniat,
Siquidem natura filiis desyderium præbuit parentum
Et hoc, natura amare non amantes prohibuit,
Melius pernitiosum ferre patrem, quam an aliis
Benificiis affici, mortalibus aũt patris solũ ad manũ respicet.
Si autem pauper, menteq; captus, & nõ membris compactus,
Quid facies, non manum tuam scipioni præbebis?
Non humeris tuis tollens me procul feres,
Veluti Anchisiades genitorem suum e bello?
Aut dices, quid me parasti? & quid me seruilem petis?
Da uocem piscibus, & aeriis uolucribus,
Et iis, quæcunq; in terra spirantq; & serpunt,
Non dicet quid me parasti maris filius o rex Delphis?
Salsam non uolebam secare uitam semper errabundus,
Humidum flans, & in sydereum aerem intuens.
Opera bouis cupio, & montes & latum tergus,
Et uiuere hominibus communem uitam ut celer equus
Quam omnibus piscibus lubricis imperare.
Neq; boues desyderantes maris iter indignantur,
Non dicet obliquis laborans nexibus uentris
Amarus serpens, quid me proiecisti in terram humũ edentẽ?
Volebam erectus esse, uerum tu me uentre uolutas.
Neq; coruus aquilis similiter in orbem agi
Quærit omnium regiissimam formam permutatus,
Amat autem quancunq; habet uitæ uiam.
Neq; quidem suo fictori unq̃ dicet figulinum opus,
Quid nam in me uoluisti immanem orbem peccator,
Hæc quidem ut tuam flectam mentem carissime filiorum,
Vt discas examen orationis, & filum trahere,
Vel proiicere q̃ superfluũ est, quod autem satis est, continere,
Neq; fluento iuuentutis cõmittere, sed cohibere,
Plus dicendorum aliquid manere longe melius est
Intus, quam aliquid infandum in aerem uerbum ire,
Nullus enim labor est manere sub labris uerbum.
Non enim uipereusq; fœtus uentrem discindet
Matrem deuorans, pœnam patris pernitiosi,

151

Τέκνον θρέμμα τεοῖο πατρὸς παρὰ μῦθον ἵκηται,
Εἴ γε φύσις τεκέεσσι πόθον πόρσυνε τοκήων,
Καὶ τ', φύσις φιλέειν τοὺς οὐ φιλέοντας ἔρυξε,
Κρεῖσσον ἀτασθαλέοντα φέρειν πατέρ', ἠὲ παρ' ἄλλων
Εὖ πάσχειν. θνητοῖσι δὲ παιδὸς μόνον ἐς χέρα λεύσσειν.
Εἰ δὲ πένης, φιλοπλήξ τε, καὶ οὐ μελέεσσι πεπηγώς,
Τί πρήξεις; οὐ χεῖρα τεὴν σκίπωνι παρέξεις;
Οὐκ ὤμοισι τεοῖσιν ἀειρόμενός μ' ἑκὰς οἴσεις,
Ὡς Ἀγχισιάδης γενέτην ἑὸν ἐκ πολέμοιο;
Ἢ φήσεις, τί μ' ἔτευξας; καὶ τί με δούλιον αἰτεῖς;
Δὸς φωνὴν νεπόδεσσι, καὶ ἠερίοις πετεηνοῖς,
Καὶ τοῖς, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
Οὐκ ἐρέει τί μ' ἔτευξας ἁλὸς τέκος ὦ ἄνα δελφίς,
Ἁρμυρὸν οὐκ ἔθελον τέμνειν βίον αἰὲν ἀλήτης,
Ὑγρὸν φυσιόων, καὶ ἀνάστροφον ἠέρα λεύσσων.
Ἔργα βοὸς ποθέω, καὶ ὄρεα, καὶ πλατὺν ὦμον,
Καὶ ζώειν μερόπεσσιν ὁμὸν βίον ὡς ταχὺς ἵππος,
Ἢ πᾶσιν νεπόδεσσιν ὀλισθηροῖσιν ἀνάσσειν.
Οὐδὲ βόες προθέοντες ἁλὸς πόρον ἀγαλλόωσιν.
Οὐκ ἐρέει σκολιοῖσι κάμνων μηρύμασι γαστρὸς
Πικρὸς ὄφις, τί μ' ἔειψας ὑπὸ χθόνα γαῖαν ἔδοντα;
Ἤθελον ὄρθιος ἔμμεναι, ἀτὰρ σύ με γαστρὶ κυλίνδεις.
Οὐδὲ κόραξ αἰετοῖσιν ὁμοίϊα δινεύεσθαι
Χρηΐζει, πάντων βασιλεύτατον εἶδος ἀμείψας.
Στέργει δ' ἣν περ ἕκαστον ἔχει βιότοιο κέλευθον.
Οὐδ' ἐγὼ ἐκ πλάστη ποτ' ἐρεῖ κεραμήϊον ἔργον,
Τίπτ' ἐπ' ἐμοὶ ῥοίζησας ἀεικέα κύκλον ἀλιξέ;
Ταῦτα μὲν ὥστε τεὴν κάμψαι φρένα φίλτατε παίδων.
Ὤκα μάθης πλάστιγγα λόγου καὶ ὑπάρχον ἐφέλκειν,
Ἠ ῥίπτειν τὸ περισσόν. ὃ δ' ἄρκιον ἐστὶ καθέξειν.
Μὴ δὲ ῥόω νεότητος ἐφεπόμενον, ἀλλὰ κατίσχειν,
Τὸ πλεῖον φρασθέντι μένειν πολὺ λώϊόν ἐστιν
Ἔνδοθεν, ἠὲν ἄφραστον ἐς ὕστερα μῦθον ὀλέσθαι.
Οὐ δεῖος γὰρ φόνος ἐστὶ μένειν ὑπὸ χείλεσι μῦθον.
Οὐ γὰρ ἐχιδναῖός τε γόνος διὰ γαστέρα ῥήξει
Μητρὸς ἀναβρώσκων, ποινὴν πατρὸς ὀλλυμένοιο.

151

Ἤδη δ' αὖ μύθοισι τεὸν δειδίξομ' ἔρωτα
Πατρὸς ἐνηείῃ, παιδὸς θρασσὸς ἤεει πάντων.
Οὔτι μίη βιότοιο πέλει τρίβος ὦ τέκος οὔτι,
Οὐδὲ γὰρ οὐδὲ μίη πᾶσιν φύσις, ἀλλ' ἡ μὲν, ἐσθλή.
Ἡ δὲ χερειοτέρη, θηρσὶν ἀλόγοισιν ὁμοίη.
Ἄλλη δ' αὖ πλεκτή τε καὶ ἀμφοτέροισ' ἐπίμικτος.
Ὣς ἄρα καὶ τρισσὸν γαίης σθένος οἶδε γεωργός.
Εὔσταχυς, ἡ δὲ ἄκαρπος, ἀκανθοφόρος θ' ἅμα σίτῳ.
Τρισσαὶ δὴ τελέθουσιν ὁδοὶ, καὶ τέρματα τρισσά.
Ἡ μὲν γὰρ, χθαμαλὴ, καὶ ἐπίτροχος ἴχνεσι πολλῶν,
Εὐρείη, μαλακή τε, καὶ ἐς τέλος οἰκτρὸν ἄγουσα,
Κρημνούς τε, ζοφεροὺς τε μυχοὺς, καὶ τάρταρον αἰνὸν,
Ἧχι πυρὸς ποταμοὶ, καὶ δαίμονες ἀγριόθυμοι,
Ψυχῶν τ' οὐλομένων ποινὴ, καὶ τίσις ἄπαυστος.
Ἡ δὲ, τρηχαλέη, καὶ ὄρθιος, αὐαλέη τε,
Στεινή τε, σκολιή τε, καὶ ἀμφίκρημνος ἁπάντη.
Ἀμβατὸς οὐ πολλοῖσι, καὶ ἐς τέλος ἐσθλὸν ἄγουσα,
Οὐρανὸν ἀστερόεντα, κλέος μέγα, κάλλε' ἄσαρκα.
Αὐτὴν ἀξενίην καθαρὴν καὶ ἄσκιον ἐσθλὸν,
Ἄχρι καὶ ἀκροτάτοιο φάους ὅρον οὔτιν' ἔχοντος.
Ἡ δὲ τρίτη, μεσάτη μὲν ὁδὸς, μεσάτη δ' ἔγ' ἀμοιβῆς,
Οὔτε λίην μογερὴ, καὶ κύδεος οὐ μάλα πολλοῦ,
Οἷον κιρναμένου φωτὸς πρὸς νύκτα μέλαιναν.
Ἀμφιλύκην δ' ἄρα τήν γε σοφοὶ μέσην καλέουσι.
Ῥείη μὲν προρόωσιν, ὅσοις νόος ἐστὶ κάκιστος,
Ψεύσταις, ἀνδροφόνοις, μοιχοῖς, ἐπίορκον ὀμοῦσιν,
Ἀνδρογύνοις, χρεῶν δηλήμοσιν, ἁρπαγέεσσι,
Γαστροφίλοις, λίμνῃσιν ἀπληρέσι τοῖσιν ὁμοίοις.
Οἳ θανάτῳ ζώοντες, ἑὸν μόρον ἀμφαγαπῶσι.
Δυσμενέων κεφαλαῖς τοῖος βίος αὐτήσειε.
Τὴν δ' ἀγαθὴν, τέμνουσιν, ὅσοις βίος οὐκ ἐπὶ γαίης,
Τρισμάκαρες, ζώοντες ἐπὶ χθονὶ σαρκὸς ὕπερθεν,
Ἄζυγες, κόσμοιο περίφρονες, οὐρανοφοῖται,
Ἀκτέανοι, κινυροὶ, χαμεύναδες, οἰοχίτωνες,
Βαιὸν ἀναπνείοντες, ἀγάστορες, ἀσκεπέες τε,
Κῦδος ἓν οἶον ἔχοντες, ἅπαν κλέος ἔνθαδ' ἀτίζειν,

Iam uero uerbis tuum perterrebo amorem
Patris clementia, filii audaciam aere inspergens.
Non una uitæ existit uia o fili minime,
Neque enim neque una omnibus natura, sed hæc qdem bona,
Sed deterior, feris irrationalibus similis.
Alia uero rursus cõnexaque & utrisque admixta,
Quẽadmodum & triplex terræ robur nouit agricola,
Fertilis, atque infructuosa, spiniferaque una cum tritico.
Triplices igitur existunt uiæ, & fines triplices,
Hæc enim plana, & trita uestigiis multorum
Lata mollisque, & in finem miserabilem ducens,
Precipitiaque, tenebrosasque cauernas, & tartarum grauem,
Vbi ignis fluuii, & dæmones feranimes,
Animarumque pernitiosarum pœna, & ultio incessabilis,
Illa uero aspera, & ardua, aridaque,
Angustaque, tortuosaque, & circũpreceps undique,
Accessa non multis, & in finem bonum ducens,
Cœlum sydereum, gloriam magnam, formas excarnes,
Ipsam ueritatem puram & non umbratile bonum,
Vsque ad supremum lumen terminum nullum habens
Tertia uero, media quidem uia, media qdem permutationis,
Neque nimium laboriosa, & gloriæ non nimium multæ,
Veluti temperatæ lucis ad noctem nigram,
Crepusculum uero utique hanc sapiẽtes mixtionem uocant.
Facilis quidem transeuntibus, qbuscũque mens est pessima,
Mendacibus, homicidis, adulteris, peierationem iurantibus,
Effœminatis uiris, parentum offensoribus, raptoribus,
Ventri deditis, paludibus inexplebilibus similibus,
Qui morti uiuentes, suam mortem complectuntur.
Hostium capitibus hæc uita occurrerit.
Bonam autem secant, quibus uita non in terra est,
Ter beati, uiuentes in terra carnem supra,
Iniugati, mundi despectores, cœliuagi,
Exortes facultatum, miserandi, humi cubantes, soliuestes,
Parum respirantes, euentres, intectique
Gloriam unam solam habentes, omnem gloriam hic spernere,

Et diuitias, paupertatemq;, & in deum solum respicere,
Hos quidem ego horreo & timeo infra aspiciens,
Vt deum celsiregem, cum hominibus adhæserit,
Etenim longe supra mortales iuere omnes
Nos autem rursus mediam uiam imus, neq; malis
Delectati, & parum attingentes quidem deum,
Quibus uxorumq; cura adest, & gloriæ amabilis,
Et filiorum, facultatūq;, amicum autem quod ī manus uenerit,
Huius igitur primum mihi ratio est uitæ,
Diuitias imprædabiles, facultates īfurabiles, bonas habentis,
Si quidem non omnia percurri ut desyderabam,
Neq; totum pertransiui sermonum laborem uelis pansis,
Non enim tuis uerbis pareo, neque me seducet
Laus mea, laus enim a sanguine est infida
Sed tamen, honoro te sermonum gloria supra alios,
Verba enim uitæ fundamenta, quæ me a feris
Diuiserunt, quibus extuli urbes, & leges adinueni,
Et deum canto magnæ gloriæ, quibus tollo
Illustris uirtutis in sūmum gloriam, quibus domito
Odiosi uitii amarum robur, quibus diuido
Mundos, cœlestemq;, & eum qui ad solutionem uadit
Hic, & animum a corpore, ut uero a formis
Imagines, ut autem uitarum naturas, & fines duplices,
Viuentiumq;, pereuntiumq;, hæc enim deus edocuit,
Et uerbum stabiliuit sapientum, & fides firmauit,
Quomō autem bonorum uirtutem trahit tempus supremis
Diebus, exemplum ferens scriptam gloriam, ut aut pessimorū
Infamiam, colūmnis in immortalibus imprimens,
Verba, & uiuenti solo uita non indigua,
Et splendidum spiranti, magna corona, nihil simile
Floribus uernis una cum aurora tonsis.
Pereunt autem postea ante diem pereuntem.
Verba & affectibus medela magna, quibus domito
Animam afferuentem, mentis nubem, quibus dolores
Sopio, & modum oblectamentis pono,
Neq; nimium laboriosis læsus, neq; bonis

Καὶ πλοῦτον, πενίην τε, καὶ εἰς θεὸν οἷον ὁρᾶσθαι.
Τοὺς μὲν ἐγὼ ζομέω καὶ δείδια νέρθε δεδορκώς,
Ὡς θεὸν ὑψιμέδοντα, ὅτ' ἀνθρώποισι πελάζει.
Καὶ γὰρ πολλὸν ὕπερθε βροτῶν βεβάασιν ἅπαντες.
Ἡμεῖς δ' αὖ μεσάτην ὁδὸν ἴομεν, οὔτε κακοῖσι
Τερπόμενοι, καὶ βαιὸν ἐφαπτόμενοί γε θεοῖο.
Οἷς ἀλόχων τε μέμηλε, καὶ εὐκλείης ἐρατεινῆς,
Καὶ τεκέων, κτεάνων τε, φίλον δ' ὅ,τι χεῖρας ἵκηται.
Τοῦτο δὴ πρώτιστον ἐμοὶ λόγος ἐστὶ βίοιο,
Πλοῦτον ἀλήϊστον, κτέαρ ἄκλοπον, ἐσθλὸν ἔχοντες.
Εἴθε μὴ πάντεσσιν ἐπέδραμον ὡς ποθέεσκον,
Μηδ' ὅλον ἐξεπέρησα λόγων δρόμον ἰσία τείνας.
Οὐ γὰρ τοῖς ἐπέεσσ' ἐπιπείθομαι, οὐδέ με κλέπτει
Αἶνος ἐμός. αἶνος γὰρ ἀφ' αἵματος ἐστὶν ἄπιστος.
Ἀλλ' ἔμπης, τίω σε λόγων κλέος ἔξοχον ἄλλων.
Μῦθοι γοῦν βιότοιο θεμείλιον, οἷμ' ἀπὸ θηρῶν
Ἔσχισαν, οἷσιν ἔγειρα πόλεις, καὶ τέθμι' ἀνεῦρον,
Καὶ θεὸν ὑμνείω μεγακυδέα. οἷσιν ἀείρω
Τῆς φαεινῆς ἀρετῆς ὕψου κλέος. οἷσι δαμάζω
Τῆς στυγερῆς κακίης πικρὸν σθένος. οἷσι κεάζω
Κόσμους, οὐράνιόν τε, καὶ ὅσ' ἐστὶ λύσιν ὁδεύει
Ἔνθαδε, καὶ ψυχὴν ἀπὸ σώματος. ὡς δ' ἀπὸ μορφῶν
Εἰκόνας, ὡς δὲ βίων τε φύσεις, καὶ τέρματα δισσὰ
Ζώντων τ' ὀλλυμένων τε. τὰ γὰρ θεὸς ἐξεδίδαξε,
Καὶ λόγος ἐστήριξε σοφῶν, καὶ πίστις ἔρεισε.
Πῶς δ' ἀγαθῶν ἀρετὴν ἕλκει χρόνος ὑστατίοισιν
Ἤμασι, δεῖγμα φερῶν γεγραπτὸν κλέος. ὡς δὲ κακίστων
Δυσκλείην, στήλησιν ἐν ἀθανάτῃσι χαράσσων.
Μῦθοι, καὶ ζώοντι μόνῳ βίος οὐκ ἐπιδευής,
Καὶ λαμπρὸν πνείοντι, μέγα σέβος, οὐδὲν ὅμοιον
Ἄνθεσιν εἰαρινοῖσιν ἅμ' ἠοῖ κειρομένοισι.
Θνήσκουσιν δ' ἄρ' ἔπειτα πρὸ ἤματος ὀλλυμένοιο.
Μῦθοι, καὶ παθέεσσιν ἄκος μέγα. τοῖσι δαμάζω
Θυμὸν ὑπερζέοντα, νόου νέφος. οἷσιν ἀνίας
Εὐνάζω, καὶ μέτρον εὐφροσύνῃσι τίθημι,
Οὔτε λίην μογεροῖσιν ἀσώμενος, οὔτ' ἀγαθοῖσιν

Αἰρόμενος. ἕτερον δ᾽ ἑτέρῳ σταθμώμενος ἄλκαρ.
Ἐλπὶς δ᾽ ἐν ἀργαλέοισιν, ἐν εὐδιόωσι δὲ τάρβος.
Μῦθος καὶ βασιλῆας ἄγει, καὶ δῆμον ἐφέλκει.
Ἔντ᾽ ἀγορῇσι τέθηλε, καὶ ἐν θαλίῃσιν ἀγάλλεται.
Καὶ μόθον αἰχμάζει, πρηὺν δέ τε φῶτα τίθησι,
Μαλθάσσων ἀπαλοῖσι καὶ αἱμυλίοισι λόγοισι,
Καὶ κρατερόν περ ἐόντα, πυρὸς μένος οἷα σίδηρον.
Ὀρφέη κιθάρη μῦθος θέλγεν, ὥσπερ ἐΐσκω,
Γαίτας ἀγρῶν μελέεσσιν ὁμῶς ἀγαθούς τε κακούς τε.
Ὡς δ᾽ Ἀμφιονίῃ λύρῃ καὶ λᾶας ἔπειθε,
Ψυχὰς αὐλητύποιο πεζώδεας. οἶδα δὲ πομποῦ
Φάρμακον, ὡς λόγος ἦεν. ὃν ἐρχομένῳ μετὰ Κίρκην
Λαρτιάδῃ πόρε δῶρον, ὅπως κε σύεσσιν ἀρήξῃ,
Οἷς ἑτάροις. μὴ δ᾽ αὐτὸς ἔδοι συοθρέμμονα φορβήν.
Μῦθον καὶ Πολύδαμνα κεραστάο Θῶνος ἄκοιτις
Αἰγυπτίη, δῶκεν δ᾽ Ἑλένῃ ξεινήϊον ἐσθλὸν,
Νηπενθές τ᾽, ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.
Καὶ μῶλον στονόεντα, καὶ ἄγριον οἶδμα θαλάσσης
Πολλάκις ἐκπροφυγών τις, ἐπὴν θεὸς ἵλαος εἴη,
Τόνδε συνεξεσάωσε φίλον κτέαρ οἷον ἀπ᾽ ἄλλων.
Ὧ πλέον, ἢ πλεόνεσσιν ἀγάλλεται ἄλλος ἐπ᾽ ἐσθλοῖς.
Μῦθος γάρ τε βροτοῖς αἰδοίϊον ἄνδρα τίθησι.
Τεκμαίρου δ᾽ Ὀδυσῆϊ, τὸν, ἐκ πόντοιο φυγόντα
Γυμνὸν, καὶ μελέεσσι τετρυμένον αἰπὺν ἀλήτην,
Μύθοισιν πυκινοῖσιν ἱκέσιον αἰτίζοντα,
Παρθενική περ ἐοῦσ᾽ ἠδέσσατο καὶ βασίλεια,
Φαιήκεσσί τ᾽ ἔδειξε, καὶ Ἀλκινόῳ βασιλῆϊ,
Ξεῖνον, ναυηγὸν, πάντων γεραρώτερον ἄλλων.
Μῦθοι καὶ πλεόνεσσιν ἐπ᾽ ὄμματα πικρὰ φερούσης
Βασκανίης, τελέθουσιν ὑπέρτεροι. οὐ γὰρ ἀρίστοις
Ὁ φθόνος, οἷς δ᾽ ἀδόκητος ἔβη τύφος, οἶδε παλαίειν.
Ὦ μῦθοι μύθων ἐπιδευέες, ὡς ποθέεσκον
Σοῖς ἀγαθοῖς ἐπέεσσιν ἐμὸν λόγον ἰσοφαρίζειν.
Ἀλλὰ τὰ μὲν, κατέμαρψα, τὰ δ᾽ οὐδενός. ἄλλα δὲ παιδὸς
Γλῶσσα φίλη κατέλεξεν, ἐπειγομένοισι πόθοισιν
Ἐκ πολιῆς νεότητος, ὅ μοι πλέον ἤπερ ἐγείρει.

Ἀλλ᾽ ἴθι μοι

E latus, alterum autem altero ponderans adiumentum,
S pem in rebus difficilibus, in serenis aūt timorem,
V erbum & reges agit, & populum trahit,
I n foris q; germinauit, & in conuiuiis dominatur,
E t laborem armat, mansuetumq; hominem reddit,
M olliens teneris & blandis sermonibus,
E t quáuis ualidum existentem, ignis robur ueluti ferrum,
O rpheæ citharæ fabula fuit, ut assimilo,
O mnes du cens modulationibus simul bonosq; malosq;,
S ic etiam A mphionia lyra & lapidibus persuadebat,
Animis cotrariis saxeis, noui autem mercurii
M edicamentum, quod sermo erat, quem eunti ad Circen
L aertiadæ præbuit muneri, ut suibus opem ferret,
S uis sociis, neq; ipse edere altricem suum escam,
V erbum & Polydamna temperauit Thonis uxor
Aegyptia, dedit autem Helenæ munus bonum,
I llu&#x1d;uosum, & sine bile, malorū obliuioné inducés omnium
E t bellum lugubre, & ferum æstum maris
S æpenumero effugiens quis, cum deus propitius fuerit,
H unc simul seruauit. caram possessionem solam ab aliis
Qua plus, quam plur:bus exultat alius in bonis,
V erbum enim mortalibus uenerabilem uirum efficit,
C oniectare autem ex Vlyxe, quem e mari elapsum
Nudum, & membris uexatum graum profugum,
V erbis prudentibus supplicem occurrentem,
Μιθραίου κακὰ ἔργα καὶ ὄργια οὐκέτ' ἄπιστα,
Γαλλαίης Κυβέλης ὀλολύγματα, ὅσσα τε Νεῖλον
Καρποδότην τίουσιν ἐν αἴσχεσιν ἀνδρογύνοισιν,

Chriſtus meus: linguã uero tuam benedicam excites.
Veraduenit hyems aũt præteriit ſed ſplendes ſerenitas.
Huc ite, & mihi luce infinita ſatiamini.
Vſq; quo tenebroſis in latebris deuincti eſtis.
Tempus hoc, quod antea uobis pollicitus eſt ſpiritu illuſtris.
Huc ite, & uiuatis. nouam autem ſuſcipiatis purgationem.
Deſinite cantores: quippe deſinite: inſanientes'q;
Dæmones inſpirantes infandiſſimis cantibus.
Orpheus feras agat: Perſæ aũt Aſcræus canat
Heſodus. Troiam autem, & dolores inclytus Homerus.
Muſæuſq;, Linus'q; a deis carmina ferant:
Qui ſane antiquiſſimis celebres ſunt cantibus.
Mercurius teroptimus meis uerſibus opem ferat:
Neq; uolens: crucem uero ueneretur uerſibus ſibylla
Magnæ diuinitatis agitati iaculis,
Nihil curo, & ſi quid prope ierint
Non diuinitus, libros aũt obaſpicientes meos.
Hi enim & penitus ſine ſplendore. illi autem parũ quid
Fulgur uibratum inſpexere. cito aũt priuati ſunt.
Quapropter cedite mihi ſane & ſero licet bene ſapientes.
Phœbus uaticinetur deorum mortem nõ amplius exiſtẽtium:
Suipater: ingenitus. ſine matre eſt ille:
Qui meum expugnauit imperium poſtremo canens.
Caſtalia'q;, laurusq;, quercus uaticinia iaceant.
Non amplius optimatum obtinentia inter uiros ſtultos.
Dæmon'q; ægypti deus uaniloquus Ammon.
Branchidæ autem poſt hos, & ſuperbus Epidaurus.
Et ſacrificia, occulta'q;, & oculis occurrentia
Claræ inter priores Eleuſinis uituperia noctis
Tibiarumq; phrygiarum inſaniam pariens caſtratus ſonitus,
Dictæi Corybantes armate furentes:
Bacchi'q; circa ſobolem ſemeleiam, montiuagi:
Et nocturnæ Hecates mala uiſa: ut autem templi
Mithræi mala opera, & orgia nõ poſthac iuſſa
Gallææ Cybeles ululationes, & quæcunq; nilum.
Fructidatorem colunt in turpitudinibus fœminiuiris.

199

Isidis, osiridis'q; mugitus lachrimosi
Et sarapis lignum siccum habens noxium sermonem;
Et uitulus multicarnis Apis, & memphis stultitia.
Et tu lacæna infelix diuersim hinc & inde
Cæsorum uerberibus iuuenum in ara uis.
Et geticus Zamolxis iaculans per cœtum.
Omnia deorum, taurorum'q; malum hospitibus sacrificium.
Et Prosymnii boni deus Priapum adamans
Ligneum. lasciuaq; uenerem colens celebritas
Lucrosa, & lindus iniuriam addens sacris.
Omnia mortua sunt Christi sanguine uenerando
Primigeni'q; noui'q; quod sane & miraculum maximum
O empedocles te quidem statim inaniter tumentem
Et mortalem ætnæi ignis crateres ostenderunt.
Soleas ebullientes leuimentis dei
Aereas, & te mortalibus infamem omnibus posuerunt.
Gloriam cupientem per saltum exitialem.
O hercules, Empedotime, Trophonie desinite a fabulis
Et tu Aristæi uaniglorii o supercilium incredibile.
Vos quidem mortales, & non affectibus
Parum aberrantes in temporeis dolis
Fabulis nostratibus spuriam gloriam arripientes.
Christus autem neq; paucis circunscriptus fuit uocibus
Neq; ipsum obscurauit fluens tempus, ueluti'q; fumum
Aeris in ilibus deletum celerrime
Talis.n. euanidæ gloriæ lex statim cadere
Sed semper omnibus celebris adhuc magis.
Semper accedentibus auctus annis
Credo olim terram totam uinculis contenturum.
Sic.n. oraculum est. sermo autem in opus uenit.
Sed hoc quidem magni dei in genibus iaceat.
Verum ego quæ me Christus mea lux edocuit
Edisseram, uerbi fundamenta omnia ostendens
Nostri, diuinitatem Dei creationem temonem uniuersi,
Quo mundum magni dei uerbum semper uoluit.
Et hæc cursim paucicarminem latum sermonem.

Ἴσιδος, Ὀσίριδός τε, μνήματα δακρυόεντα,
Καὶ Σαράπις ξύλον αἰδοῖον ἔχων δηλήμονα μῦθον,
Καὶ μόσχος πολύσαρκος Ἆπις, καὶ Μεμφὶς ἄνοια,
Καὶ σὺ λαίκαινα τάλαινα διασταδὸν ἔνθα καὶ ἔνθα
Τεμνομένων μάστιξι νέων ἐπιβώμιος ἀλκή,
Καὶ γετικῆς Ζαλμόξιος ὀϊστεύων δι' ὁμίλου,
Πάντα θεῶν, ταύρων τε καὶ ξείνοισι θυηλή,
Καὶ προσύμνοιο καλοῖο θεὸς φαλὸν ἀμφαγαπάζων
Δουράτεον, μαλχλη τε κύπελλιν τίουσα ἑορτὴ,
Κερδαλέη, καὶ λίνδος ἐφυβρείζουσα ἱδρῶσι,
Πάντ' ἔθανε Χριστοῖο μεγακλέος αἵματι σεπτῷ,
Ἀρχεγόνου τε, νέου τε, τὸ δὴ καὶ θαῦμα μέγιστον.
Ἐμπεδόκλεις, σὲ μὲν αὐτίκ' ἐπώσια φυσιόωντα,
Καὶ βροτὸν αἰτναίοιο πυρὸς κρητῆρες ἔδειξαν,
Σαύδαλ' ἀποβράσαντες ἐλαφρονόοιο θεοῖο,
Χάλκεα, καί σε βροτοῖσιν ἐπαιχέα πᾶσιν ἔθηκαν,
Κύδεος ἱμείροντα δι' ἅλματος αἰνομόροιο.
Ἡρακλοῦ, Ἐμπεδότιμε, Τροφώνιε, λήξατε μύθων,
Καὶ σύ γ' Ἀρισταίου κενεαυχέος ὀφρὺς ἄπιστε.
Ὑμεῖς μὲν θνητοὶ, καὶ οὐ μακάρων παθέεσσι,
Βαιὸν ἀποπλάξαντες ἐπὶ χρονίοισι δόλοισι,
Μύθοις ἡμεδαποῖσι, νόθον κλέος ἁρπάξαντες.
Χριστὸς δ' οὔτ' ὀλίγῃσι περίγραφος ἔπλετο φωναῖς,
Οὔτε μιν ἠμάλδυνε ῥέων χρόνος, οἷά τε καπνὸν
Ἠέρος ἐν λαγόνεσσιν ἀϊστωθέντα τάχιστα,
Τοῖος γὰρ ψαφαροῖο κλέους νόμος αὐτίκα πίπτειν,
Ἀλλ' αἰεὶ πάντεσσιν ἀοίδιμος εἰσέτι μᾶλλον
Αἰὲν ἐπερχομένοισιν ἀεξόμενος λυκάβασι.
Γείθομαι ὥσπερ τε γαῖαν ὅλην θεσμοῖσι καθέξει,
Ὣς γὰρ θέσφατον ἦεν. λόγος δ' ἐπὶ ἔργον ὁδεύει.
Ἀλλὰ τὸ μὲν, μεγάλοιο θεοῦ ἐν γούνασι κείσθω.
Αὐτὰρ ἐγὼ, τί με Χριστὸς, ἐμὸν φάος ἐξεδίδαξεν,
Ἐξερέω, μύθοιο θεμείλια πάντ' ἀναφαίνων
Ἡμετέρου, θεότητα, θεοῦ κτίσιν, οἴακα παντὸς,
Ὣ κόσμον μεγάλοιο θεοῦ λόγος αἰὲν ἑλίσσει.
Καὶ τὰ δ' ἐπιδρομάδην ὀλιγόστιχον εὑρέα μῦθον,

Ὡς νόμος ἐστὶν ἔμοιγε, τὰ δ' ἔκτοθι εἴτα γαλείρων.
Ἀλλὰ φίλον ὄχ' ἄριστε Νεμέσιε, τοῦτο δέδεξο
Δῶρον ἐμῆς φιλίης πάντων γλυκερώτερον ἄλλων,
Μοῦνον ἀφ' ἡμετέρων κτεάνων, καὶ μοῦνον ἔμοιγε.
Οὐ κύκνου λιγυροῖο μόρον γοόωντος ἀοιδὴν,
Γηραλέαις πτερύγεσσιν ὅτ' ἐμπνείῃσιν ἀήτης,
Οὐδ' ἄρ' ἀηδονίδος συγνὸν μέλος, ἡνίκα χεῖμα
Δεσμὰ φέρῃ πάντεσσι, καὶ ὀρνίθεσσιν ἀοιδοῖς,
Ἀλλὰ χρυσοφόρων στομάτων θεοτευχέα μολπὴν,
Τὴν νῦν τοῖσι φέροις ἐμέθεν λάχος αὐτίνυ πάντων,
Οἴσιν ἐμὴν πολιήν τε φίλην, καὶ νοῦσον ἔπισας,
Καὶ μῦθον πτερόεντα, τεὸν κλέος. ἦ μέγα θαῦμα,
Καὶ πάντων καθύπερθε, πρὶν ὀφθαλμοῖσιν ἰδέσθαι.
Αἰδῶς γὰρ μερόπεσσιν ἐν ὄμμασιν. εἰ μὲν ἔποιο
Τοῖσδε λόγοισι πτερόεισι διδοὺς πλόον ἡμετέροισι,
Τεισμάκαρ ἡ γνώσιος καὶ τέρματος. εἰ δ' ἀπειθήσεις,
Καί σε τόσον σφήλειεν ὁ βάσκανος ὄμματι πικρῷ,
Οὐκ ἐθέλων πάντεσσιν ἕνα βροτὸν ὄλβιον εἶναι,
Γρηγορίου τόδε σοι μνημήϊον ἐσθλὸν ἔποιο.
Ἦ τάχα κεν μετόπισθεν ἐμὸν λόγον αἰνήσειας,
Ἐξ ὀλίγου συνεθῆρος, ἐς ὕστερα πυρσὸν ἀείρας,
Ὄφρα τις ὧδ' εἴπῃσι, Νεμέσιος ὀβριμόθυμος
Καππαδόκῃσι τάλαντα δίκης ἰθεῖα τανύσσας,
Οὐ χρυσὸν δολόεντα καὶ ἄργυρον, οὐδὲ μὲν ἵππους
Εὐγενέτας πτερόεντας ἀοίδιμον οὖχος ἔχοντας,
Ὤχετ' ἄγων, πλείω γὰρ ἀνύστατος, αὐτὰρ δὲ πάντων,
Μάργαρον αἰγλήεντα μέγαν ληΐσσατο Χριστὸν,
Ὧ πάντων κρατέουσιν ἐμὸν γένος. εὔχομ' ἔγωγε
Καππαδόκαι. σὺ δ' ἔμοιγε καὶ οὐρανίαις σελίδεσσιν
Ὡς νῦν ἡμετέρῃσι, σὺν ἡμετέροισι γραφείης.

ΓΝΩΜΑΙ ΓΡΗΓΟΡΙΟΥ ΔΙΣΤΙΧΟΙ.

Ὑμνος ὅλος βιότοιο πάμοις ἄλλα. μὴ δὲ βαρεῖα
γ Νῆις ἰθὺ πόντον ἴοις, αὐτίκα δυσομένη.
Ὧς αἰεὶ κρυεροῖο παρεστaότος θανάτοιο
Μνώεο, καὶ θανάτου ἥσσονος αὐτιάσεις.
Αἰεὶ νηὸν ἔγειρε θεῷ νόον, ὥς κεν ἄνακτα,

Quando lex est mihi, illa uero extra ieci gades.
Sed o amicorum q̃ optime Nemesi hoc suscipe
Munus meæ Amicitiæ omnibus dulcius aliis
Solum a nostris facultatibus, & solum mihi
Non oloris striduli mortem lugentis cantum
Senilibus alis cum incidit flatus.
Neq; uero lusciniæ lugubris modulatio cum hyems
Vincla affert omnibus, & auibus cantaricibus:
Sed christiferarum buccarum deifabrum cantum
In præsentia hanc feras meam sortem pro omnibus
Quibus meam caniciem'q; caram, & morbum honorasti,
Et fabulam alatam, tuam gloriam quippe magnum miraculũ
Et omnes supra priusq̃ oculis uideri.
Pudor.n.hominibus in oculis' siquidem sequaris
Hos sermones uelis dans nauigationem nostris
O terbeate ducatu, & fine. sin uero non pareas,
Et te tantum deceperit inuidus oculo amaro
Non uolens omnibus unum mortalem beatum esse
Gregorii hoc te monimentum bonum sequatur
Certe celeriter postea meum sermonem laudaueris
Ex parua scintilla in aerem facem attollens
Vt aliquis hoc pacto dixerit. Nemesius magnanimus
Cappadocibus examina iustitiæ recta tendens
Non aurum dolosum, & argentum, neq; etiam equ so
Nobiles, alatos, celebrem gloriam habentes
Abiit agens. diuitiis. n. inuulnerabilis. pro omnibus autem
Vnionem splendidum magnum prædatus est Christum:
Quo omnibus imperantibus meum genus, glorior ego
Cappadocæ. tu uero mihi & cœlestibus pugillaribus
Vt nunc nostris cum nostris scribaris,.

SENTENTIAE GREGORII DISTICHAE

Nudus totus uitæ seces mare ne grauis uero
Nauis in pontum eas confestim demergenda.
Tanq̃ semper præsentis frigidæ mortis
Memineris, & mortem minorem offendes.
Semper templum erige deo mente, ut regem

201

Sedem immaterialem habeas intra tuum cor.
Cognosce te ipsum o optime unde, & quis fabricatus es.
facile .n. sic sortiare formam archetypam.
Dies in diem agit te uolutatur quisquis est leuis.
Mens autem eius qui stabilis est, diem insolutum habet.
Quisquis abeuntibus, & euntibus confidit,
Fluxui credit nunq̃ consistenti.
Aequale mihi malum est, uita, & sermo erroneus.
utrum habueris, & alterum sortiere.
Iniuria est impurum existentem assistere sacrificiis.
Grauius mortuorum reliquias omnes colere.
Sistas nunq̃ e uia bonorum malã in profunditatẽ repere.
Tibi status, qui iuisti extra uitium.
Cæcus uidens: qui sui uitii non uidet perniciem
uestigia quærere feræ summorum luminum.
Indigens affectibus medici, si mala abscondas,
Nunq̃ marcorem effugies molestum.
Tuus sermo, opus meum, qui non bonum opus fecit.
Bene loquentiam habeat fautricem circumpositam.
Iniuria sacietas est: ego uero te uolo optime.
Opus habere animæ fixionem semper uolubilis.
Ditescere autem diuinitate sola, & mundum omnem
Par est araneis filis semper habere.
Omnia quidem hominum aliena ab hac uita.
Virtus autem, mortalis hoc solum uita est.
Agite uero omnibus dei clamat uerbum incorrupti consilii:
Festinate ad trinitatis cognitionem supercœlestis.
Ponite mentem, uitæ quidem, quot nuptiæ sanctæ uinxere.
Torcularibus cœlestibus maiorem fructum agere.
Quæcunq; aũt rursus magni dei uerbum complectimini.
Sponsæ uirgineæ, omnia deo adducere.
Splendor præclarus, unimodus, sed a mundo
Animum habere, a carnibus procul stare.
Iniuria est fidem habere in coloribus, non in cordibus.
Facile abluti fuerint. profundum mihi carum.
Neq; iustitiam aliquam inflexam neq; prudentiam

Ἴσθυμι ἄϋλον ἔχῃς ἔνδοθι σῆς κραδίης.
Γνῶθι σεαυτὸν ἄριστε πόθεν καὶ ὅστις ἐτύχθης,
Ῥεῖα δέ κεν ὧδε τύχῃς κάλλεος ἀρχετύπου.
Ἦμαρ ἐπ' ἦμαρ ἄγει σε. κυλίνδεται ὅς τις ἐλαφρός.
Γνώμη δ' εὐπαγέος, ἦμαρ ἄλυπον ἔχει.
Ὅς τις ἀπερχομένοισι καὶ ἐρχομένοισι πέποιθε,
Ῥεύματι πιστεύει, οὔ τι ἱσταμένῳ.
Ἶσον ἐμοὶ κακόν ἐστι βίος καὶ μῦθος ἀλιτρὸς,
Ὁπότερόν κεν ἔχοις, καὶ θατέροιο τύχοις.
Ὕβρεις ἄναγνον ἐόντα, παρεστάμεναι θυέεσσι,
Δεινότερον νεκύων λείψανα πάντα σέβειν.
Ἴσασο μήποθ' ὁδοῖο καλοῦ. κακὸν ἐς βυθὸν ἕρπειν.
Σοὶ στάσις, ὅς τις ἔβης ἔκτοθι τῆς κακίης.
Τυφλὸς ὁρῶν, ὃς ἑῆς κακίης οὐκ ὄσσετ' ὄλεθρον,
Ἴχνια μαστεύειν θηρὸς, ἀκρῶν φαέων.
Χρῄζων δὴ παθέεσσιν ἀκέστορος, ἣν κακὰ κεύθῃς,
Οὔποτε σὴν περ ὀδύνα φεύξεαι ἀργαλέην.
Σὸς λόγος, ἔργον ἐμεῖο. ὃς οὐ καλὸν ἔργον ἔρεξεν,
Ἐνεπίην ἐχέτω σύμμαχον ἀμφίθετον.
Ὕβρεως ἧς κόρος ἐστίν. ἐγὼ δέ σε βούλομ' ἄριστε,
Ἔργον ἔχειν, ψυχῆς πῆξιν ἀειστρεφέος,
Πλουτεῖν δ' αὖ θεότητα μόνην, καὶ κόσμον ἅπαντα,
Ἶσον ἀραχναίοις νήμασιν αἰὲν ἔχειν.
Πάντα μὲν ἀνθρώπων, ἀλλότρια τοῦδε βίοιο.
Ἡ δ' ἀρετὴ, βροτέη ἐστὶ μόνον βιοτή.
Δεῦτε δὲ πᾶσι θεοῖο βοᾷ λόγος ἀφθιτόμητις,
Σπεύσατε ἰθὺ τελέθος γνῶσιν ἐπουρανίης,
Θέσθε νόον, βιότῳ μὲν ὅσοις γάμος ἁγνὸς ἔδησε,
Λωΐους οὐρανίους πλείονα καρπὸν ἄγειν.
Ὅσσαι δ' αὖ μεγάλοιο θεοῦ λόγον ἀσπάζεσθε,
Νύμφαι, παρθενικαὶ, πάντα θεῷ προσάγειν.
Αἴγλη παμφανόωσα, μονόζωπος, ἀλλ' ἄπο κόσμου
Θυμὸν ἔχειν, σαρκῶν τηλόθεν ἱστάμεναι.
Ὕβρις πίστιν ἔχειν ἐν χρώμασι, μὴ κραδίῃσι.
Ῥεῖα δέ κεν ἔκπλυτ' ἔοι, βένθος ἔμοιγε φίλον.
Μήτε δικαιοσύνην τιν' ἀκαμπέα, μήτε φρόνησιν

Ἀγκυλόεσσαν ἔχειν. μέτρον ἄριστον ἅπαν.
Νωμᾶσθαι καὶ θάρσος, ἐπεὶ θράσος οὐ κράτος ἔσται.
Ἔστι σαοφροσύνης καί τι χαλινὸν ἔχειν.
Ὄγκειν ἐν λογίοισιν ἑὸν νόον αἰὲν ἄριστον.
Ἴδρις ἐπουρανίων ὧδ' ἂν ἔοις νομίμων.
Σπεῦδε μὲν εἶναι ἄριστος. ἀφάνδανε, οἷσιν ἄριστον.
Καὶ κακίην τέρπειν, δυσκλεὲς ἐστὶ κλέος.
Αἰσχρὸν ἄριστον ἐόντα, συνήγορον ἔμμεν ἀλιτρῶν,
Ἶσον καὶ κακίης σὸν πόδα ἐντὸς ἔχειν.
Χρυσὸς μὲν, χοάνοισι δαμάζεται, ἄλγεσι δ' ἐσθλός.
Ἄλγος ἀπημοσύνης, πολλάκι κουφότερον.
Ῥεῖα κεν ἀρνήσαιτο θεὸν μέγαν, ὃς γενετῆρα.
Ἴσθι δὲ καὶ γενέτην πατέρα εὐσεβίης.
Σῆτες ἔδουσιν ἅπαντα, λίπῃς τὰ σὰ μὴ δὲ τάφοισιν.
Ἐξοδίην τιμὴν, δεξιὸν οὔνομ' ἔχειν.
Ξείνων ἡμεδαπῶν περιφείδεο, ἔξοχα δ' αὖτε,
Οἳ τά δε πάντα λίπον ἀδρανέων νεκύων.
Δεῦρ' ἄγε κόσμον ἅπαντα καὶ ἄχθεα τῆδ' ἀπολείψας,
Ἱστίον ἐς ζωὴν οὐρανίην πέτασον.
Ταῦτα μὲν αἰὲν ἄριστα θεοπρεπὲς ἔργα τελείσθω,
Ἡ δὲ τριὰς, πάντων ἔξοχά σοι μελέτω.
Νήπιος ὅς τις ἄνακτα θεοῦ λόγον αἰὲν ἐόντα
Οὐ σέβετ' ἰσοθέως παιδὸς ἐπουρανίου.
Νήπιος ὅς τις ἄνακτα λόγον βροτὸν ἔνθα φανέντα,
Οὐ σέβετ' ἰσοθέως οὐρανίοιο λόγου.
Τέμνει δ' ἢ μεγάλοιο παιδὸς λόγον, ἠὲ λόγοιο,
Μορφὴν ἀνδρομέην, καὶ πάχος ἡμέτερον.
Ἦν θεὸς, ἀλλ' ἐπάγη. παιδὸς λόγος, ἡμέτερος φὼς,
Ὥς κε θεὸν μίξῃ μικτὸς ἐὼν χθονίοις.
Εἷς θεὸς ἀμφοτέρωθεν, ὅσ' ἄμβροτος, ὅσσον ἔμ' ἔρδειν
Ἀντὶ βροτοῖο θεόν. ἵλαθι πέφυκας αἰώ.
Τόσσον ἔχοις. τί δέ μοι γένος ἂν καὶ μίξιν ἄφραστον
Ἀμφὶ θεὸν θνητοὶ στέργετε μέτρα λόγου.
Εἰ μὲν δὴ πεπίθοιμι, τὸ, λώϊον. εἰ δὲ μελαίνης
Τὸν χάρτην πολλαῖς χιλιάσιν ἐπέων,
Δεῦρ' ἄγε πλαξὶ τεαῖς ὀλιγόστιχα ταῦτα χαράξω

Curuam habere, modum optimum omnem.
Regere & temeritatem, quia temeritas non fortitudo erit.
Est temperantiæ & aliquid tranquilli habere:
Aperire in sermonibus suam mentem semper optimum.
Gnarus supercœlestium sic fueris legitimorum.
Festina esse optimus, displice quibus est optimum.
Et uitium delectare ingloria est gloria.
Turpe est, eum qui optimus est: auxiliatorem esse peccatorum.
Aequale est ac si in uitio tuum pedem habeas.
Aurum quidem follibus domatur. sed doloribus bonus
Dolor indemnitate sæpe leuior.
Facile abnegaret deum magnum, qui genitorem.
Scito autem & genitorem patrem pietatis.
Tineæ deuorant omnia: liqueris tua neq; sepulchris
Funeris honor dexterum nomen habere.
Hospitibus nostratibus parce. præcipue uero rursus
Qui omnia hæc liquerunt imbecillium cadauerum.
Huc age mundum omnem, & onera hic relinquens.
uelum in uitam cælestem pande.
Omnia semper optima diuinitus opera perficiantur.
Sed trinitas præter cætera tibi curæ sit.
Infans quicunq; regem dei filium semper existentem
Non colit æque diuine ut patrem supercœlestem.
Infans quicunq; regem filium mortalem hic apparentem
Non colit æque diuine ut cœlestem filium
Secat autem uel a magno patre filium, uel a filio
Formam humanam, & crassitudinem nostram.
Erat deus, sed compactus est patris uerbum, nostrum lumen.
Vt deum misceat mistus ens terrestribus.
Vnus deus utrinq; tantum imortalis quatenus me faciat.
Pro mortali deum. propitiare primus supra.
Tantũ habeas: quid uero mihi genus & mistionem indicenda
Circa deum mortales amatis modos uerbi.
Si igitur crediderim hoc melius, si uero inficis
Chartam multis millibus carminum:
Huc age tabellis tuis paucorum uersuum has imprimam.

203

Litteras meo stilo, qui atrum nihil habet.
O uirgo, uirgo sis & oculis, & occultis:
Neq; introducas marem curatorem.
Christum habes dilectũ, respue uiros omnes.
Cur uis mortis uenenum intus habere?
Iam mihi cani. lanio corpus. oculum domo.
Curis diurnis, & nocturnis liquefeci.
Animam termiseram ut ab igne liberarem.
Sed tamen & uinco corpus non sine labore.
Quomodo tu & iuuentutem ferens, & carnes excitans
Latiores elephante deinde mihi delitiaris.
Veluti sane quis purus, & spiritu dilectã
Amans, o fugiendã delectationem, quã Christus spernit.
Solitarii solitariam uitam trahite. si autem cum dilectis
Vna uiuitis non solitarii: duitas aliena.
Angelicæ gloriæ imago unitas. si uero dilectis
Delectamini: mortalis estis amici duitatis.
Virgo Christum habes semper uiuentem auxiliatorem
Sponsum desyderabilem: tuæ amatorem formæ.
Cœlestis, ne carnem rursus carnis'q;
Ceperis. curatorem aũt fugito pessimorum.
Ne Christi tunicam immaculatam turpitudini miscueris.
Omnibus uirginibus obprobrium infundens.
Quoniam difficile est carnibus fugere bellũ prope entibus,
Quare a fœminis o monachi longe abeste.
Multa. n. sunt nuptiarũ mysteria & ante nuptias,
Quibus polluit animam aspectu semen trahens aliqua.
Ignis prope paleam non res tuta. neq; mulierem
Virginem o monache possidere contubernalem.
Marem, & fœminam separauit spes melior.
Natura autem occultum morbum intus habet.
Si absueris longe scintilla manet, sin autem commisceare
Accendes rogum spiritu ex paruo.
Albi & nigri mista natura est fuscum.
Vita & mors nihil habent medium.
Introductitios autem, ut aiunt omnes.

Γράμματ' ἐμῇ γραφίδι, ἢ μέλαν οὐδὲν ἔχει.
Παρθένε, παρθένος ἴσθι, καὶ ὄμμασι, καὶ κρυφίοισι.
Μὴ δὲ συνεισαγάγῃς ἄρσενα κηδεμόνα.
Χριστὸν ἔχεις ἀγαπητὸν, ἀπόπτυσον ἄνδρας ἅπαντας.
Τί χρήζεις θανάτου φάρμακον ἔνδον ἔχειν.
Ἤδη μοι πολιαί. δάπτω δέμας. ὄμμα δαμάζω.
Φροντίσιν ἠματίῃσι, καὶ ἐννυχίῃσι τέτηκα
Ψυχὴν τὴν τε τάλαιναν, ὅπως πυρὸς ἐξερύσαιμι.
Ἀλλ' ἔμπης, καὶ κρατέω τοῦ σώματος οὐκ ἀμογητί.
Πῶς δὲ σὺ καὶ νεότητα φέρων, καὶ σάρκας ἐγείρων
Εὐρυτέρας ἐλέφαντος, ἔπειτα δέ μοι διαθρύπτῃ
Ὡς δή τις καθαρὸς, καὶ πνεύματι τὴν ἀγάπην τὴν
Στέργων. ὢ φευκτῆς ἀγάπης, τὴν Χριστὸς ἀτίζει.
Οἱ μοναχοὶ, μοναχὸν βίον ἕλκετε. εἰ δ' ἀγαπηταῖς
Συζῆτ', οὐ μοναχοί. ἡ δυὰς ἀλλοτρίη.
Ἀγγελικῆς δόξης εἰκὼν μονάς. εἰ δ' ἀγαπηταῖς
Τέρπεσθε, θνητῆς ἐστὲ φίλοι δυάδος.
Παρθένε, Χριστὸν ἔχεις αἰεὶ ζῶόν τ' ἐπίκουρον,
Νυμφίον ἱμερόεντα, τεῆς ζηλήμονα μορφῆς,
Οὐρανίης. μὴ σάρκα πάλιν σαρκός τε τομῆα
Δέξῃ, κηδεμόνα δ' ἀλέεινε κακίστων.
Μὴ Χριστοῖο χιτῶνα τὸν ἄσπιλον αἴσχεϊ μίξῃς,
Παύσαιο παρθενικῇσιν ἐλεγχείην καταχεύας,
Ὡς χαλεπὸν σάρκεσσι φυγεῖν κλόνον ἐγγὺς ἐούσαις.
Τοὔνεκα θηλυτέρων μοναχοὶ ἄπο τηλόθεν ἐστέ.
Πολλὰ γάρ ἐστι γάμου μυστήρια, καὶ πρὸ γάμοιο,
Οἷς μολύνει ψυχὴν ὅτε σώφρον ἑλκομένη τίς.
Πῦρ ἐγγὺς καλάμης, οὐκ ἀσφαλές. οὐδὲ γυναῖκα
Παρθένον ὦ μοναχὲ κτᾶσθαι ὁμωρόφιον.
Ἄρσενα καὶ θήλειαν ἐχώρισεν ἔλπις ἀμείνων,
Ἡ δὲ φύσις, κρυπτὴν τὴν νόσον ἔνδον ἔχει.
Ἢν ἀπέχῃς μακρὰν, σῶν θὴρ μένει. ἢν δ' ἀναμίσγῃς,
Ἅψῃς πυρκαϊὴν πνεύματος ἐξ ὀλίγου.
Λευκοῦ καὶ μέλανος μικτὴ φύσις ἐστὶ τὸ φαιὸν,
Ζωὴ καὶ θάνατος, οὐδὲν ἔχουσι μέσον.
Τοὺς δὲ συνεισάκτοις, ὡς δὴ φάσκουσιν ἅπαντες,

Οὐκ οἶδ' εἴτε γάμῳ δώσομεν, εἴτ' ἀγάμοις
Θήσομεν, εἴτε μέσον τι φυλάξομεν. οὐ γὰρ ἔγωγε
Κἄν με λέγῃ τις κακὸν, τὸ πλέγμ' ἐπαινέσομαι.
Ἄρσενα πάντ' ἀλέεινε, συνείσακτον δὲ μάλιστα
Μ ὑβρέας πικρὸν ὕδωρ. παρθένε πείθεό μοι.
Ἄλλοι μὲν χρυσὸν, οἱ δ' ἄργυρον, οἱ δὲ τραπέζαν
Τιμῶσιν λιπαρὴν, παίγνια τοῦδε βίου.
Ἄλλοι δ' αὖ σηρῶν καλὰ νήματα, καὶ γύας ἄλλοι
Πυροφόρους, ἄλλοι τετραπόδων ἀγέλας.
Αὐτὰρ ἐμοὶ, χριστὸς πλοῦτος μέγας, ὅν ποτ' ἴδοιμι
Νῷ γυμνῷ καθαρῶς. τἄλλα δὲ, κόσμος ἔχοι.

ΚΑΤΑ' ΓΥΝΑΙΚΩ͂Ν ΚΑΛ
ΛΩΓΙΖΟΜΕ'ΝΩΝ.

Ἢ κεφαλὰς πυργοῦτε νόθοις πλοκάμοισι γυναῖκες,
μ Θρύπτουσαι μαλακοὺς αὐχένας ἐκ σκοπέλων,
Μὴ δὲ θεοῦ μορφὰς ἐπαλείφετε χρώμασιν αἰσχροῖς,
Ὥς τε προσωπεῖα, κοὐχὶ πρόσωπα φορεῖν.
Οὐ δὲ γὰρ ἀσκεπέα κεφαλὴν θέμις ἀνδρὶ γυναῖκα
Φαίνειν, ἢ χρυσῷ σφιγγομένων πλοκάμων,
Ἠὲ κόμης ἀδέτοιο κατωμαδὸν ἔνθα καὶ ἔνθα,
Σκιρτώσης ἁπαλοῖν μαινάδος ἐξ ἀνέμων,
Οὐ δὲ λόφον καθύπερθε φορεῖν κορύθεσσιν ὁμοῖον,
Τηλεφανῆ σκοπιὴν ἀνδράσι λαμπομένην,
Ἠὲ λίνου μαλακοῖο διαυγάζουσαν ἔθειραν
Κρυπτὴν ἀμφαδίην τήνδε μετωπιδίην,
Ξανθὸν ἀπαστράπτουσαν, ὅση κρήδεμνον ἄλυξεν,
Ὡς δοκέειν παλάμης ἔργα πονησαμένης.
Εὖτε τὸν οὐχ ὁρόωντα διδάσκαλον, ἄπνοον εἰκὼ
Μορφῆς στησαμένη κάλλος ἐκεῖθε γράφεο.
Κάλλος δ' εἰ μὲν ἔδωκε φύσις, μὴ κρύπτ' ἀλοιφῇ,
Ἀλλ' οἴοις καθαρὸν ἀνδράσιν ὑμετέροις
Σώζετε, μὴ δ' ἀλλοτρίῳ ὄμματα λίχνα φέρουσαι.
Ὄμμασι γὰρ κραδίη ἕσπεται οὐχ ὁσίως.
Εἰ δ' οὐ γεινομένῃσι συνέσπετο, δεύτερον αἶσχος
Φεύγετε, ἐκ χειρῶν κάλλος ἐφελκόμεναι.
Κάλλος, ὃ γαῖα φέρει, καὶ ὤνιόν ἐστι γυναιξὶ

Πανδήμοις

N escio, siue nuptiis dabimus, siue innuptos.
Ponemus: siue medium quid seruabimus. non enim ego
Et si mihi maledixeritis, rem laudabo.
Marem omnem fuge, inductitium autem maxime.
Merrhæ amara est aqua. uirgo pare mihi.
Alii quidem aurum, alii argentum, alii uero mensam
Magnificiunt pinguem, lusus huius uitæ.
Alii rursus serum pulchras texturas, ac terras alii
Frugiferas, alii quadrupedum greges:
Sed mihi Christus diuitiæ magnæ: quem olim uideam
mente nuda pure. alia uero mundus habeat.

CONTRA MVLIERES OR
NATAS.

E capita turrificate adulterinis crinibus mulieres
n Mollientes mollia colla ex specula.
Neq; dei formas inungite coloribus turpibus:
Vt personas, & non facies feratis.
Neq;.n. intectum caput fas est mulierem uiro
Ostendere, aut auro constrictis crinibus:
Aut coma illagata post humeros hinc & inde
Saltante mænadis mollibus auris.
Neq; cristam desuper ferre galeis similem,
Conspicuam speculam uiris splendentem.
Aut lino molli transparentem cæsariem
Occultam palam hanc frontalem,
Flauum fulgurantem, quæ capitis tegmen fugit,
Vt uideantur opera laborata manu.
Cum non uidentem magistrum mortuam imaginem
Formæ statuens pulchritudinem illinc pingis.
Pulchritudinem uero si dedit natura, ne occultate inunctione,
Sed solis puram uiris uestris,
Seruate, non alieno: oculos auidos ferentes.
Oculos. n. cor sequitur non sancte.
Sin uero genitas non secuta est: secundum dedecus
Fugite manibus pulchritudinem attrahentes,
Pulchritudinem, quam terra producit, & uenalis ē mulierib⁹

205

Publicis: obolis quæ uenduntur paucis.
Pulchritudo, quæ absterſa in humum fluit: neq; riſu
Stat: cum ſoluerit lætitia mala totam.
Et lachrymarum riuis arguitur, uaporantiq;
timore, ac gutta ſoluitur pauca.
Antea uero ſplendens, & gratioſa mala
Gaudium magnum, confeſtim bicolor apparuit.
Nigra, marmorea o nigricolor, fucataq; mala
Quomodo potes continere pulchritudinem culpatam?
Hæc non motis ſtatuis: ſed tibi ferenda
Forma: & multis ſoluta paſsionibus.
Hoc dei opus eſt, manus illud. hoc uetus,
Illud nouũ, pratum flores duplices ferens.
Iucundorum'q;, odioſorum'q; permutatim, uel aliqua ueſtis
utrinq; colorata cingulis pluribus tracta.
Quare uel fuge pictum corpus: uel ſerua:
neq; noxium formæ auxilium habe,
Telam Penelopes, quam nox ſoluebat, dies texebat:
Intus Hecubam, foris Helenen.
Si igitur modus eſt aliquis latere maritũ: nõ eſt ferendũ
Speciem diuinam mortali occultare.
Ne te deus talibus compellet indignatus,
Quis? unde fictor? pereas mihi aliena.
Non te pinxi canis: ſed formaui imaginẽ mei.
Quomodo ſimulachrũ habeo formæ pro amico?
Attamen aliqd huic uitio concedamus ſi uero manifeſtam
Tabella pictorũ ſpeciẽ ſupra ſpeciem habet:
Columnã turpitudinis ſcito mortalibus illuſtrẽ erigere
Formam: quam tu pingis ſpirantem: Alcinoi.
Hortus Adonidis tua uero gratia frugiperdi:
Polypodis color: literæ in arenis.
Quomodo tu ſpeciem habens graculinam: ſi graculum
Bene alatum alienis floribus fabula habens:
Rurſus nudũ poſuit graculũ: non curas
Obprobrium poſtremum pulchritudine pereunte?
Speras aũt inconcuſſum habere oblectamẽtũ: nõ multo poſt

Πανδήμοις, ὀβολοῖσιν πορνομέναις ὀλίγοις
Κάλλος, ὃ ῥυπτόμενον, χαμάδις ῥέει, οὐδὲ γέλωτι
Ἴσα τ' ἐπὴν λύσῃ χάρμα παρειαὶ ὅλην,
Καὶ δακρύων ὀχετοῖσιν ἐλέγχεται, ἰκμαλέῳ τε
Δείματι, καὶ ψεκάδος λύεται ἐξ ὀλίγης.
Ἡ δὲ πάρος στίλβουσα, καὶ ἡ χαρίεσσα παρειὴ,
Χάρμα μέγ' ἐξαπίνης δίχροος ἐξεφάνη,
Πορνικὴ, μεταμορόεσσα. μελάγχροε, μιλτοπάρῃε,
Πῶς δύνασαι κατέχειν κάλλος ἐλεγχόμενον.
Ταῦτ' οὐ κεινυμένοισιν ἀγάλμασι, σοὶ δὲ φορητὴ
Μορφὴ, καὶ πολλοῖσ λυομένη πάθεσι.
Τοῦτο θεοῦ δέμασ ἐστὶ χερὸς τόδε, τοῦτο παλαιὸν,
Τοῦτο νέον, λειμὼν ἄνθεα δισσὰ φέρων,
Τερπνῶν τε, στυγερῶν τε ἀμοιβαδὶς, ἠέ τισ ἐσθὴσ
Ἀμφίχροος ζώναις πλείοσιν ἑλκομένη.
Τοὔνεκεν, ἢ φεύγειν γραπτὸν δέμασ, ἠὲ φυλάσσειν.
Μὴ δ' ἐπιλωβητὸν εἶδος ἀλιπαρ ἔχειν,
Ἰσὸν Πηνελόπης, τὴν, νὺξ λύεν, ἦμαρ ὕφαινεν,
Ἔνδοθι τὴν Ἑκάβην, ἔκτοθι τὴν Ἑλένην.
Εἰ μὲν δὴ μῆχόσ τι λαθεῖν πόσιν, οὐ μὲν ἀνεκτὸν,
Εἶδος ἀποκρύπτειν θειότερον βροτέῳ,
Μή σε θεὸς τοίοισιν ἀμείψηται χαλεπήνασ,
Τίς, πόθεν ὁ πλάστης. ἔῤῥε μοι ἀλλοτρίη.
Οὔ σ' ἔγραψα κύων, ἀλλ' ἔπλασα εἰκόν' ἐμοῖο.
Πῶς εἴδωλον ἔχω εἴδεος ἀντὶ φίλου;
Ἀλλ' ἔμπης, νούσῳ τι προήσομεν. εἰ δ' ἀείδελον
Ἐστὶ πίναξ γραφέων εἶδος ἐπ' εἴδους ἔχων,
Στήλην αἶσχος ἴσθι βροτοῖς περίφαντον ἐγείρειν
Μορφὴν, ἣν σὺ γράφεις ἔμπνοον, Ἀλκινόου.
Κῆπος Ἀδώνιδος, ἡ δὲ τεὴ χάρις, ὠλεσίκαρπος.
Πουλύποδος χροιὴ, γράμματ' ἐπὶ ψαμάθων.
Πῶς δὲ σύ γ' εἶδος ἔχουσα κολοίϊον, εἴγε κολοιὸν
Εὔπτερον ἀλλοτρίοισ ἄνθεσι μῦθος ἔχων,
Αὖθισ γυμνὸν ἔθηκε γελοίϊον. οὐκ ἀλεγίζεισ
Αἴσχεος ὑστατίου, κάλλεος ὀλλυμένου.
Ἔλπῃ δ' ἀσυμφέλικτον ἔχειν γάνος, οὐ μετὰ δηρὸν

NN

Ὄψεαι ἀλλοτρίου κάλλεος ὅσσον ἄχος.
Πυνθάνομαι ὦ τί φέριστον ἔχει πλάσις, ἥν ποτε γῆρας
Ῥικνώσῃ μορφὴν, τὴν πάρος ἀνθοφόρον.
Τῆμος, ὅτ' ἀγλαφός ἐστι μελέων πλάσις, ὡς πυρίκαυστον
Λείπεσθαι σαρκῶν λείψανον ἐκ κονίης.
Ὀψὲ μετακλαίειν δὲ μελέων δόλον, οὔτε πίθηκον
Ῥυτίσιν ἐν πυκιναῖς ὥσε τὸ λειπόμενον.
Τοίη ψευδομένων μελέων χάρις. ἀλλὰ φερίστη,
Νῦν στῆσον μορφῆς ἔκτυπον, ὡς τὸ πάρος.
Ἀτρεκὲς οὐ μὲν ἔγωγε ὀΐομαι, ἀλλὰ πολὺ πρὶν
Μηδένα μὴ δ' ἀνδρῶν εὔξεαι ὄμματ' ἔχειν,
Οἵ σε πάρος κλήϊζον, ἐπ' ὄμματα δ' εἶχον ἑτοῖμα
Τῇ καὶ τῇ σοβαροῖς ἴθμασι κινυμένην.
Καὶ τὸ, γέλως, ἀνδρῶν λήθειν γένος ἰχανόωσα,
Μνῆσαι σῆς μορφῆς ἄνδρας ἐπεπαύσαο.
Ἄνδρες γὰρ τείψαντο τὰ φάρμακα, οἷς σὺ γέγηθας,
Ληϊσταὶ μεγάρων, τέκτονες ἧς μανίης.
Ταῦτ' οὐ σωφροσύνης τὰ σοφίσματα, μαχλοσύνης δέ.
Γαῦ γοῦν ὅ τεχνάζῃ ἄρρεσι, μαχλοσύνη.
Φασὶ ταὼ μεγάλαυχον, ἐπὴν πτερίκυκλον ἐγείρῃ
Αὐχένα κυρτώσας χρύσεον ἀστερόεις,
Κλάζειν θηλυτέραις φιλοτήσιον. εἰ δὲ σὺ μορφὴν
Οὐ σφετερίζωσι γράψας ὄμμασι, θαῦμά μ' ἔχει.
Εἰ μὲν γὰρ πόσιος σεῦ ἔχεις πόθον, ὡς σὸν ἐκεῖνος,
Ἐξέτι τοῦ, ὅτε σε ἤγαγε τ' ἐς θαλάμους
Κουριδίην, θαλέθουσαν, ἔχεις χάριν. εἰ δὲ σύ γ' ἄλλων
Ὄμμασιν ἀνδανέεις, τοῦτο πόσις στυγέει.
Κεύθειν λώϊόν ἐστι βελέων χάριν οἷσι δόμοισιν,
Ἠὲ ψευδομένην οὐχ ὁσίως προφέρειν.
Τῇ μὲν γὰρ, πόσις ἐστὶν ἐπάρκιος. εἰ δ' ἐθέλῃ πολλοῖς
Ἵσταται, ὥς τε λίνον ἱπταμένων ἀγέλῃ,
Τέρπῃ τερπομένῳ, καὶ ἀμείβεαι ὄψιν ὀπωπῇ.
Αὐτὰρ ἔπειτα γέλως, καὶ λόγος ἀντίθετος,
Κλεπτόμενοι τὸ πρῶτον, ἔπειτα δὲ θάρσος ἔχοντες.
Μηκέτι μοι τὰ πρόσω φθέγγεο γλῶσσα λάλε,
Ἀλλὰ τὸ δ' ἀτρεκέως μυθήσομαι, οὐδὲν ἄκεντρον

Videbis alienæ pulchritudinis quantus dolor:
Audio optimum quiddam hebere formationẽ, si qñ senectus
Incuruauerit formam olim florigeram.
Tunc: cum indepicta est membrorũ formatio: ut igne succensæ
Linquantur carnium reliquiæ, ex puluere.
Sero autem deplorare membrorum dolum, cum simiam
Rugis in densis compulit, quod relictum est.
Talis mentientium membrorum gratia: sed o optima
Nunc statue formæ efformem ut antea.
Verum non equidem existimo: sed multo prius
Neminem neq; uiuorum præcabere oculos habere.
Qui te antea illustrabant, in oculos autem habebant paratos
Hinc & inde grauibus gressibus motam.
Et hoc risus. uirorum latere genus cupiens:
Mystas tuæ formæ uiros traxisti
Viri. n. triuerunt medicamenta, quibus tu delectaris
Prædatores atriorum fabri suæ insaniæ.
Hæc non temperantiæ commenta, libidinis autem.
Omne. n quod struis maribus: libido.
Aiunt pauonem iactabundum, cum rotam fecerit
Collum curuans aureum sydereus,
Clamare fœmellis gratulabundum. si autem tu formam
Non uigentibus pingis oculis: admiratio me habet.
Si. n. mariti tui habes desyderium: ut tuum ille:
Ex eo usq; cum te duxit in thalamos
Puellulam, uigentem, habes gratiam. Si uero tu aliorum
Oculis places: hoc maritus odit.
Occultare melius est membrorum gratiam suis domibus,
Quam mentientem non sancte proferre.
Huic quidem maritus sufficit. si uero in multis
Stat ut linum uolatilium gregi
Delectaris delectato, & reddis aspectum aspectui.
Sed deinde risus, & sermo oppositus.
Occultati primum: hinc uero audaciam habentes.
Non amplius mihi ulteriora loquere lingua loquax.
Sed hoc uere dicam, nihil sine aculeo.

207

Eorum, quæcunq; fœmellis luduntur erga iuuenes
Omnia.n.mutuo simul sequuntur ut ferrum,
Quod magnes trahit aliud sub aliud agens.
Quoniam utinam cerusis & fucationibus loco mulierum
Splenderent uel abunde uiri inconsulti,
Qui tantam turpitudinem habentes in oculis cōtubernalem,
Delectantur uitio nebulam induti.
Alias quidem feriunt uerborum iactibus illustres:
Ipsi uero in suis tupitudinibus sunt sues.
Quippe cito & aris in obscuris deciderint.
Contenti Circes inunctionibus feriparis.
Qui neq; odere, & ut igni aridam matricem
Iaciunt, quam trahere, melius est:q̃ ferre.
Alium.n.alius quis uir ornamentis mulierum
Vincant stultitia plus habere uolens.
Sæpe.n.facultatum indigi, ut excitent
Iniuriam suarum uxorum, plus habent laboris.
Inimico autem nunq̃ porrexisti eius ensem, neq; torrenti
Tuas in aristas porrexisti facile iter.
Pandorā canunt igne cadenti subrepto,
Pœnam hominibus repensam uenisse
Pro igne ignem alium, bono malum ut urat,
Et plus exerceat pulchritudinibus ingeniosis
Dæmonas aliud quidpiam furtiuum in unum agentes
Collectam fraudem uiris admouisse.
Insidiantem cœnando dolosam, impudētem, sermōe blandā,
Oblectamentum perniciosum facem semper urentem.
Non tamen fabulis credo, si autem iubes:
Ne tu fias pandora ingeniosa.
Pandoræ generis sunt impudentes, sed tu Christi
Imago temperantia splendeas, & mentibus.
Alia autem non amplius fabula, mea autem uerba audit
Quæ tibi diuinis loquar ex uerbis.
Non audis & antea tuum patrem ut decepit
Homicidæ ligni pulchricolor nitor
Decepit, uirenti'q; statim eiecit ex paradiso.

Τῶν, ὅσα θηλυτέραις παίζεται ἀμφὶ νέοις.
Πάντα γὰρ ἀλλήλοισιν ἅμ' ἕσπεται, ὥς τε σίδηρος,
Ὃν μαγνῆσσ' ἐρύει, ἄλλον ὑπ' ἄλλον ἄγει.
Ὡς ὄφελον καὶ μύθοις καὶ φύκεσιν ἀντὶ γυναικῶν
Στίλβειν καὶ λιπαρῶς ἀνέρας ἀφραδέας,
Οἳ τόσον αἶσχος ἔχοντες ἐν ὀφθαλμοῖσι σιώοικον,
Τέρπονται κακίῃ, ἀχλὺν ἐφεσσάμενοι.
Ἄλλας μὲν βάλλουσιν ἐπεσβολίῃσι φαεινάς,
Αὐτοὶ δ' ἐν σφετέροις αἴσχεσιν εἰσὶ σύες.
Ἦ τάχα καὶ συφεοῖσιν ἐνὶ σκοτίοισι πέσοιεν
Εἰρχθέντες Κίρκης χρίσμασι θηροτόκοις,
Οἳ μήτ' ἐχθαίρουσι, καὶ ὡς πυρὶ κάγκανον ὕλην
Βάλλουσ', ἣν ἐρύθειν λαθρίον ἠὲ φέρειν.
Ἄλλον γάρ τ' ἄλλος τις ἀνὴρ κόσμοισι γυναικῶν
Νικῶσ' ἀφραδίῃ πλεῖον ἔχειν ἐθέλων,
Πολλάκι καὶ κτεάνων ἐπιδευέας, ὥς κεν ἐγείρειν
Ὕβριν ἑῶν ἀλόχων, πλεῖον ἔχουσι φόνον.
Ἐχθρῷ δ' οὔπω τ' ὄρεξας ἑὸν ξίφος, ὃ δὲ χαράδρῃ
Σοῖσιν ἐπ' ἀστάχυσιν ὤπασας εὐδίην.
Πανδώρην ἐνέποισι πυρὸς μαλεροῖο κλαπέντος,
Ποινὴν ἡμβρίοιο ἄντιτον ἐλθέμεναι,
Ἀντὶ πυρὸς, πῦρ ἄλλο, καλὸν, κακὸν, ὥς κε φλέγῃσι,
Καὶ πλέον, ἀσκῆσαι κάλλεσι δαιδαλέοις,
Δαίμονας, ἄλλοτι δ' ἄλλον ἐπίκλοπον εἰς ἓν ἄγοντας,
Συμφερτὴν ἀπάτην ἀνδράσιν ἐμπελάσαι,
Δειπνολόχην, δολόεσσαν, ἀναιδέα, μειλιχόμυθον,
Τερπωλὴν ὀλοὴν, δαλὸν ἀειφλεγέα.
Οὐ μὲν δὴ μύθοις ἐπιπείθομαι. εἰ δὲ κελεύεις,
Μὴ σύ γε Πανδώρη γίνεο δαιδαλέη,
Πανδώρης γένος εἰσὶν ἀναιδέες, ἀλλὰ σὺ Χριστοῦ
Εἰκὼν, σωφροσύνῃ λάμπεο καὶ πραπίσιν.
Ἄλλος δ' οὐκέτι μῦθος, ἐμὸν δ' ἐπέων ἐπάκουσον,
Οἷς σοι θεοτάτων φθέγξομαι ἐκ λογίων.
Οὐκ ἀΐεις καὶ πρόσθε τεὸν πατέρ' ὡς ἀπάτησεν
Ἀνδροφόνοιο φυτοῦ εὔχροος ἀγλαΐη;
Ἤπαφεν, εὐθαλέος τε ἄφαρ βάλεν ἐκ παραδείσου,

δυσμενέος τε δόλοις, πρόφασιν τ' ἀλόχου.
Οὐδέ σοι νόμος ἐστὶ παλαίτερος ἠδ' ἔτι κείνου,
μήποτ' ἐπ' εὐχροίῃ θάρσος ἔχειν θύγατερ.
Γαῖ μὲν κάλλος ἐμοί, βαιὴ χάρις εἶαρ ἔδειξε,
καὶ χειμὼν κρυερὸς ὤλεσεν ἐξαπίνης.
Ἢ νοῦσός μιν ἔκαμψεν ἀχρεῖον, ἢ χρόνος αἰνὸς
ὤλεσε, τηκεδανῶν κύκλα φέρων ἐτέων.
Τοῦτο δὲ καὶ πλέον ἐστὶ γελοίϊον, οἶδεν ἄκοσμον
εἶδος ἔχουσα γυνή, καὶ πατέρες Δανάην,
Αἴσχεϊ κυδιόωσα, τὸ δ' αἶσχιον, ὡς ἐνέπουσιν
ἴδριες, οὐ γὰρ ἐγὼ τῆσδε κακορραφίης,
Ξανθὴν νοῦσον ἔχουσι, καὶ ἀλλήλας ἐθέλουσι
κεύθειν. τί περ ἐνόσου τῆσδε χερειότερον.
Τέκτων, τέκτονος ἔργον ἐπίσταται, ἴδρις ἀοιδὸς,
ἴδριν ἀοιδοσύνης, φῶρα δὲ φὼρ ἐδάη,
Ἀλλ' αἵ γ' οὐκ ἐθέλουσι τάπερ νοέουσι, νοεῖσθαι.
Ἦρ' ἐτεὸν κακίη ὄμματα πηρὰ φέρει.
Ὡς δ' ἀνδρὸς τίουσι τάπερ γελόωσι πρόσωπα,
τερπόμενοι χροιαῖς κινυμένων πινάκων.
Οὐκ ὅσσον πινάκεσσιν ὀΐομαι, ὅσσον ἐπ' ἀνδρῶν
θυμῷ, τοῦ, τελέθει χρώματα μαρτυρίη.
Γηθαίνομ' ὡς κενεὴν καὶ ἀνείδεον ὑψορόφωνον
ἠχώ ποθέων, παλαίζεθ' ὑπὲρ σκοπέλων.
Καὶ μορφῆς τις ἑῆς ποτ' ἐράσσατο, καὶ κατὰ πηγῆς
ἥλατ', ἐπ' εἰδώλῳ κάλλεος οὐλομένου.
Ἄλλη δ' αὖ ποταμοῖο καλοῖς ἐπεμήνατο ῥείθροις,
μαινομένη, οὐδ' ὄχθας ἥγ' ἀπέλειπε φίλας.
Λαιπηρὸν ὕδωρ, χείρεσσιν ἀφυσσαμένη, ἀφρὸν ἔμαρπτεν.
Ἀλλ' οὐδ' ὥς, πυρόεις ὕδασι λῆγε πόθος.
Οὕτω τυφλὸν ἔρως καὶ ἀνάρσιον. οὐ μέγα θαῦμα,
εἴ τινα καὶ σὺ νέων, τηλενόοιο βάλοιο,
εὔχροος, ἁβροχίτων, ῥοδοδάκτυλος, ὑψικάρηνος,
οὐχ οἷα, ἀλλὰ τόσοις, ὁσσατίοισι γραφῇ.
Πείθομαι, ὥς ποτε ταῦρον ἀνὴρ σοφὸς ἤπαφε τέχνῃ,
χρώμασι μορφώσας δουρατέην δάμαλιν.
Ξεῖνος ἔρως, ἀπνόοισιν ἐπ' εἴδεσιν ἔμπνοα βαίνει,

Inimicique dolus: deceptio'que uxoris.
Hæc tibi lex est patria usque ex illo
Nunquam in bono colore fiduciam habere o filia.
Omnem .n. pulchritudinem mihi parua gratia uet tulit:
Et hyems frigida perdidit confestim.
Vel morbus ipsam flexit immaturum: aut tempus graue
Perdidit, consumentium annorum ferens orbes.
Hoc autem & plus est ridiculum. nouit inornatam
Speciem habens mulier. & calcat danaen
Turpitudine gloriata. sed turpius cum dicant
Gnaræ. non enim ego huius malæ futuræ sum.
Communem morbum habent, & mutuo uolunt
Cælare. quid nam morbo hoc peius?
Faber fabri opus nouit: peritus cantor
Peritum cantilenæ: furem uero fur didicit.
Sed hæ non uolunt quæ sciunt sciri.
Certe uerum. uitium fert cæcos oculos.
Qemadmodum autem uiui honorant, quas uident: facies:
Delectati coloribus, quæ mouentur: tabellarum.
Nequaquam tantum tabellis puto: quantum in uirorum
Animo: cuius existunt colores tistimonium.
Audio inanem, & efformem postuocalem
Echo quendam cupientem, errasse supra scopulos.
Et formam quendam suam adamasse: & in fontem
Desiluisse ob simulachrum pulchritudinis pernitiosæ:
Aliam autem rursus fluuii pulchris insaniuisse fluentis.
Insaniebat, neque ripas hæc relinquebat caras.
Prensabat aquam, manibus hauriebat, spumam capiebat:
Sed neque sic igneum aquis desinebat desyderium.
Sic res cæca amor es, & incommoda. non admodum mirum
Siquem & tu iuuenum longe a mente ieceris.
Bonicolor, delitiose uestitus roseis digitis, celsiceps
Non unum, sed tot, quot pingeris.
Audio olim taurum uirum sapientem decepisse arte
Coloribus formantem ligneam iuuencam.
Communis amor non spirantibus in speciebus spirãter gradit

209

Quando & tu iuuenibus commenta es tale scelus.
Orpheus feris persuadebat. tu uero uiris, quibus similis
Feris est mens. & quæ fœmineo amore insanit uita.
Si non carnibus gratificare, pro carnibus
Oculis, & hoc, morbus aerius amor.
Sed inuulnerata tota? certe neq; hoc bonum
Est mihi inanis gloriam habere uitii.
Sic autem & multis gloriam scripseris indecoram:
Et quam uis sapiens existens, facilis res cursu uitium.
Aliorum quidem sordentem uitam machinamentis occulta.
Tibi uero temperãtiam, & nigrum quiddam fer.
Si. n. temperantes sunt floridæ, nunq̃ aliis
Persuaseris fœminis temperantem animum habere.
Verbum autem nostræ legis neq; oculos iacere
Vxorem in alienam adulterinis desyderiis.
Principium. n. amoris impudentis aspectus impudens.
Quem uir fugiens, & uitium fugiet.
Quomodo autem tu tantum amoris in uiris cestum agens
Nuptiifrago o mulier longe manes a uitio?
Sed age si tibi & fabulã conuenientem fabulabor
Turpitudinibus uestris. canicies uero res loquax.
Iniudicatum erat antea mortale genus: qui'q; optimus,
Qui'q; deterior, ut fama uetus.
Multi quidem uidebantur incõmodi existentes optimi:
Multi uero rursus boni ex contrario inconsulti.
Gloria uilissimos: uilitas uero optimos
Sequebatur. nequaq̃ iustitia his retributis.
Sed non latuit regem deum uitium regnans.
Sero autem indignatus, tale dixit uerbum.
Non fas est bonis meam gloriam, atq; malis
Esse: sic. n. esset maius uitium.
Quare bis ego signum bonum præbebo:
Vt bene cognoscas qui malus, qui'q; bonus.
Sic fatus. rubefecit genas bonis
Sanguinem sub cutem fundens, turpitudine expulsa.
Fœminis uero præcipue, quoniam & specie raræ.

Ὁππότε καὶ σὺ νέοις μήσαο τοῖον ἄγρας.
Ὀρφεὺς θῆρας ἔπειθε, σὺ δ' ἀνέρας, οἷσιν ὁμοῖος
Θήρεσιν ἐστὶ νόος, θηλυμανής τε βίος.
Εἴ τοι μὴ δέρκεαι χαρίζεαι, ἀντὶ δὲ σαρκῶν,
Ὄμμασι, καὶ τὸ, νόσος ἡδίη φιλότης.
Ἀλλ' ἄζωστος ὅλη; ναὶ πείθομαι, οὐδὲ τὸ δ' ἐσθλὸν
Ἔστιν ἐμοὶ, κενεῆς δόξαν ἔχειν κακίης.
Ὧς δ' ἂν καὶ πολλῇσι νόμον γράψαις ἄκοσμον
Καὶ πινυτή περ ἐοῦσ'. εὔδρομον ἡ κακίη.
Ἄλλων μὲν ῥυπόωντα βίον τε χιτώσμασι κεύθειν,
Σοὶ δὲ σαοφροσύνην καί γε μέλαν φορέειν.
Εἰ γὰρ σώφρονές εἰσιν ἐπανθέες, οὔποτ' ἂν ἄλλας
Πείσαις θηλυτέρας σώφρονα θυμὸν ἔχειν.
Μῦθος δ' ἡμετέροιο νόμου, μὴ δ' ὄμματα βάλλειν
Ἐῦνιν ἐπ' ἀλλότριον, μοιχαλίοισι πόθοις.
Ἀρχὴ γὰρ φιλότητος ἀναιδέος ὄψις ἀναιδής,
Τὴν κεν ἀνὴρ φεύγων, καὶ κακότητα φύγοι.
Γῶς δὲ σὺ τόσσον ἔρωτος ἐπ' ἄνδρασι κεστὸν ἄγουσα
Λυσιγάμοιο γυναι τῆλε μένεις κακίης.
Εἰ δ' ἄγε σοι καὶ μῦθον ἐοικότα μυθολογήσω
Αἰγῶπιν ὑμετέροιο. ἡ πολιὴ δὲ λάλον.
Ἄκριτον ἦν τὸ πάροιθε βροτῶν γένος, ὅς τε φέριστος,
Ὅς τε χερειότερος, ὡς φάτις ὠγυγίη.
Πολλοὶ μὲν δοκέεσκον ἀνάρσιοι, ὄντες ἄριστοι,
Γολλοὶ δ' αὖτ' ἀγαθοὶ, ἔμπαλιν ἀφραδέες.
Κῦδος ἀτιμοτάτοισιν, ἀτιμίη δ' ἔτ' ἀρίστοις
Ἔσπετο, οὔτε δίκη τῶν δ' ἐπαμειβομένων.
Ἀλλ' οὐ λῆθεν ἄνακτα θεὸν κακίη μεθέουσα,
Ὀψὲ δ' ἀλαστήσας, τοῖον ἔειπεν ἔπος.
Οὐ θέμις ἐστ' ἀγαθοῖσιν ὁμὸν κλέος ἠδὲ κακοῖσιν
Ἔμμεναι, ὧδ' ἂν ἔοι πλειοτέρη κακίη.
Τοὔνεκα, τοῖσιν ἐγὼ σημήϊον ἐσθλὸν ὀπάσσω,
Ὄφρ' εὖ γινώσκῃς, ὅς κακὸς, ὅς τ' ἀγαθός.
Ὣς εἰπὼν, ἐρύθηνε παρήϊα τοῖς ἀγαθοῖσιν
Αἷμ' ὑπὸ δέρμα χέας, αἶσχος ὀρνυμένου.
Θηλυτέραις δὲ μάλιστα, ἐπεὶ καὶ εἶδος ἀραιαὶ,

Καὶ κραδίην ἁπαλαὶ, πλεῖον ὑπεσκέδασε.
Τοῖς δὲ κακοῖσιν ἔπληξε, καὶ ἄβροτον εἶδος ἔθηκε.
Τοὔνεκεν οὐδ' ὀλίγον αἴσχεσι συμφέρεται.
Τὴν, σύ μοι ἰη ἐοῦσα πολύχροε, οὐ γὰρ ἔρευθος
Αἰδέομ', εἰ καί μοι χρῶσον ὑπέρθε φέρεις,
Τοῦτο γὰρ ἐστὶν ἔρευθος, ἀναιδείης ἀνέρευθος
Ἔκγονον, ὃ κλύζει ὄμβρος ὁ πρὶν σοφόμορον,
Μὴ γράφε τῆς τὸ πρόσωπον ἀτάσθαλε, μὴ δὲ δολώσῃς
Σὸν χρόα, κάλλος ἐμοὶ μοῦνον, ὃ δῶκε φύσις.
Καὶ γὰρ πλοῦτος ἐμοὶ πατρώϊος, ἐστὶν ἀρείων
Τοῦδ', ὃν ἐμὴ παλάμη οὐχ ὁσίως συνάγει,
Καὶ τυτθός περ ἐὼν, πολὺ πλείονος. ὡς δὲ γυναῖκα
Στέργω κουριδίην, οὐχὶ δὲ μοιχιδίην.
Καὶ γραπτῶν παίδων πολὺ φέρτεροι, οὓς ἐφύτευσα,
Καί περ ἀρειοτέρων, οἵ γε χερειότεροι.
Τὴν, σὺ μνωομένη, τήρει δέμας οἷον ἐτύχθη,
Μὴ δ' ἐθέλειν δοκέειν αὖθ' ἑτέρης ἑτέρη.
Κελτοὶ μὲν κρίνουσι γόνον ῥήνοιο ῥεέθροις,
Καὶ χρυσὸν καθαροῦ ἄνθρακές εἰσι κρίσις.
Σὸν δὲ σαόφρονα θυμὸν ἀγαλλεῖ κάλλει μορφῆς
Σταθμοῖμ' ἀσβολόεις μή σε γράφοι βελίας.
Ἢ γὰρ τέφραν ἔθηκεν ὅλην, ἢ καπνὸν ἔχευε,
Τόσσον ἀεικίσσας, τέρψιος αἴτι ἔσῃς.
Οὐ χρυσὸς λιθάκεσσι διαπλοκὸς ὄμματα βάλλων
Αὐγαῖς ἠερίαις, τίμιος εὐγενέταις,
Δειροπέδη στήθεσσι περίζοχος, οὔας ἀτίζων
Ἄχθει μαργαρέῳ ἀμφιπερικραδάων,
Οὐδ' ὅπος ἀμφὶ κάρηνον ὑπέρτατος, οὐ πολύχρυσος
Ἐσθὴς λεπταλέων δαίδαλα ἔργα μίτων,
Πορφύρεα, χρύσεια, διαλαμπέα, σιγαλόεντα,
Οὐδὲ πετάλων φάρμακα λευγαλέα,
Κόσμος θηλυτέραις, οὐ χείλεα πορφυρόεντα,
Οὐ γραπτῶν βλεφάρων ὀφρὺν ὑπέρθε φέρειν,
Κυανέην, διερὰς τε κόρας ἔνδοθεν ἑλίσσειν,
Οὐκ ὀπὶ θρυπτομένῃ εὐμενέος οὔας ἄγειν,
Οὐδὲ χέρας τε, πόδας τε, φίλῳ καὶ ἡδέϊ δεσμῷ
Χρυσῷ σφιγγομένην, δούλιον εὖχος ἔχειν,

Et corde molles, magis subdissipauit.
Malis, aût fixit, & immutabile intus posuit.
Quapropter neq; parum dedecori confertur.
Quorum tu mihi sola existens multicolor, non. n. ruborem
reuereor: & si mihi tantum desuper fers;
Hoc. n. est rubor impudentiæ irrubescentia
Proles, quã obruit imber prior sodomorum.
Ne pingas faciem o pernitiosa, neq; adulteres
tuum corpus. pulchritudo mihi sola, quã dedit natura:
Nã diuitiæ mihi paternæ sunt meliores
Iis, quas mea manus non sancte colligit.
Et paruæ licet existentes, multo pluris, ut autem mulierem
Amo puellulam, non autem adulteram.
Et ex scriptis filiis multo meliores, quos genui,
Licet melioribus qui deteriores,
Quorum tu memor, serua corpus: quale est fabricatum.
Neq; uelis uideri pro altera, altera.
Celti quidem iudicant prolem Rheni fluentis.
Et auri puri carbones sunt iudicium.
Tuum autem temperantem aĩum deformi pulchritudĩe formæ
pondere fuligineus ne te pingat Belias.
Aut. n. cinerem posuit totam, aut fumum fudit.
Tantũ deturpans delectatione pro tanta.
Non aurum lapillis implicitum oculos iaciens.
Splendoribus aeriis pretiosum nobilibus.
Colare pectoribus circuncurrens: aurem deprimens
Oneret gemmeo circumuibrans.
Neq; quantum circum caput supremum, non auro referta
Vestis tenuium ingeniosa opera filorum.
Purpurea, aurea, resplendentia: fulgida
Neq; genarum medicamenta pernitiosa.
Ornatus mulieribus non labra purpurea.
Non pictarum palpebrarum supercilium desuper feras
Cœruleum, humentes'q; pupillas interius uolue.
Non uoci delicatæ benignam aurem duc.
Neq; manus'q; pedesq; caro, & iucundo uinculo
Aureo stringens, seruilem gloriam habe.

211

Neq; uero ungentis mollibus tuum corpus, uel caput
Inungere · mortuos consectantur uultures.
Neq; in oribus tuis ineptam cibo escam
Mollias mouens hinc & inde genam:
Veluti contemnens temperantes: ex dentibus uero
Mitte, & humentibus spumam ab oribus.
Neq; stellarum fulgoribus exulta: non ostende,
Speciem a scissis ingeniosis biforibus
Spectans uidentes. ne extollare seruorum
Multitudine. non ancillis imaginibus tui cordis.
Veris nuntii sunt hirundines, flos, fructus,
Dominæ ancillæ. & hoc animaduerte mihi.
Horum. n. & si ununquodq; inornatus quidam leuis:
Omnia quidem simul inuicem firma est mors.
Flos, unus est mulieribus amandus bonus rubor
Pudor. hoc pingit pictor noster.
Dabimus, si desyderas, & secundum. pallorem trahas
Pulchritudini tuæ Christi absumpta laboribus.
Precibusq;, suspiriis'q;, & diebus, noctibus'q; insomnibus.
Hæc & iniugatorum medicamenta, & iugatorum.
Colores quidem parietibus dimittimus, atq; mulieribus
Iis: quot rabies sordes animæ est iuuenum.
Illæ & lasciuiant impudenter, & rideant.
Nobis autem neq; uidere lasciuas fas est.
Mos est mulieribus res pretiosa, domi manere
Plurimum, & diuinis alloqui sermonibus.
Tela'q;, fuso'q;. hoc. n. præmium est mulierum:
Ancillis opera distribuere, seruos uitare.
Labiis uincla ferre, & oculis, atq; genis.
Neq; pedem extra uestibula sæpe habere.
Delectari fœminis temperantibus, sed uiro solo,
Cui mitram diuinitus soluisti uirgineam.
Et huic modum ferre. tu quidem fiduciæ, ut præbeas
Fidem, q; externis procul manes a luminibus.
Quis primus colorauit dei figmentum? ut pereat
Primus impudentiam coloribus immiscens.

Οὐδὲ μύροις μαλακοῖσι τεὸν δέμας, ἠὲ κάρηνον
   χρίεσθαι, νεκροὺς ἀμφιέπουσι γύπες.
Μὴ δὲ μὲν ἐν στομάτεσσι τεοῖς ἄβρωτον ἐδωδὴν
   μαλθάσσειν, δονέουσ' ἔνθα καὶ ἔνθα γένυν,
Οἷα περιφρονέουσα σαόφρονας, ἐκ δ' ἄρ' ὀδόντων
   Γέμπειν, καὶ διερῶν ἀφρὸν ἀπὸ στομάτων.
Μὴ δὲ λίθων στεροπῇσιν ἀγάλλεο, μὴ περιφαίνειν
   Εἶδος ἀπὸ χρυσῶν δαιδαλέων διθύρων,
Ἀγριομένη λύσσοντας. ἀείρεο μὴ θεραπόντων
   Πληθύϊ, μὴ δμωαῖς εἴκουσι σῆς κραδίης.
Εἴαρος ἄγγελοί εἰσι χελιδόνες, ἄνθος ὀπώρης,
   Δεσποίνης δμωαί, καὶ τόδε φράζεό μοι.
Τῶν δὲ γὰρ εἰ καὶ ἕκαστον ἀκοσμίη ἲς ἐλαφρή,
   Πάντα γ' ἅμ' ἀλλήλοις ἔμπεδός ἐστι μόρος.
Ἄνθος δ' ἐστὶ γυναιξὶν ἐράσμιον, ἐσθλὸν ἔρευθος,
   Αἰδώς. τοῦτο γράφει ζωγράφος ἡμέτερος.
Δώσομεν, εἰ ποθέεις, καὶ δεύτερον, ὦχρον ἐφέλκοις
   Καλλεῖ σῷ, χρυσοῦ τηκομένη καμάτοις,
Εὐχαῖς τε, στοναχαῖς τε, καὶ ἤμασι, νυξί τ' ἀΰπνοις.
   Ταῦτα καὶ ἀζυγέων φάρμακα, καὶ ζυγίων.
Χρώματα μὲν τοίχοισι περήσσομεν, ἠδὲ γυναιξί,
   Ταῖς, ὁπόσαις λύσση βόρβορός ἐστι νέων.
Κεῖναι καὶ σκιρτῶσιν ἀναιδέα, καὶ γελόωσιν,
   Ἡμῖν δ' οὐδ' ὁρᾶαν μαχλάδας ἐστὶ θέμις.
Ὁ ζόφος ἐστὶ γυναιξὶ ἐπίτιμον, οἴκαδε μίμνειν
   Πλείονα, καὶ θείοις προσλαλέειν λογίοις,
Ἱστῷ τ', ἠλεκάτῃ τε, τὸ γὰρ γέρας ἐστὶ γυναικῶν
   Δμωαῖς ἔργα νέμειν, δμῶας ἀλευέμεναι,
Χείλεσι δεσμὰ φέρειν, καὶ ὄμμασιν, ἠδὲ πεδαῖς,
   Μὴ δὲ πόδας προθύρων πολλάκις ἐκτὸς ἔχειν.
Χαίρειν θηλυτέρῃσι σαόφροσιν, ἀνδρὶ δὲ μούνῳ,
   Τῷ, μίξω θεόθεν λύσαο παρθενίην,
Καὶ σῷ, μέζα φέρειν σύ γε θάρσεος, ὥς κεν ὀπάζοις
   Πίστιν, ὅτι ξείνων τῆλε μένεις φαέων.
Τίς πρῶτος χροίησε θεοῦ πλάσιν, ὡς ἀπὸ λοιγὸν
   Γράψας αἰκελίην χρώμασιν ἐγκεράσας.

Πῶς δ' ὁπότ' ἀρνευτῆρες ἀναιδέες, ἄνδρες ἄνανδροι
Εἴδωλον μορφῆς ἀνδρόθι κευθομένης
Ἔνδοθεν ἐστήριξαν, τὰ δ' ἔσσεται, οἷς ἐπέοικεν
Ἅλματα, καὶ λιγυρῶν αἰσχρὰ λύσις μελέων,
Ἀνδράσιν ἀφραδέεσσιν ἑαδότα, ὡς ἄρα καί τε,
Ἐσσάμεναι μορφὴν ἔκτοθεν ἀλλοτρίην,
Κωμικὸν, οὐχ ἱερὸν αἰδοῦς σκέπας, ἔνθεν ἔπειτα,
Κίνυνται μορφῆς ἄξια δαιδαλέης,
Τῇ περιμοχλίζουσι θύρας, κληῖδες, ἔσοπτρα,
Φάρμακα, φαρμακίδες, ἄζομον οὐδὲ τέγος.
Ταῦτ' εἶδος γραφίης κενεαυχέος. ἀκοσμίης δὲ,
Οὐδὲν ἀμοχθότερον σώφρονος ἀγλαΐης.
Εἰ δὲ σὺ κάλλεϊ τόσσον ἐπιπλάστῳ βλεμεαίνεις,
Οὔποτ' ἂν ἀπλάστῳ σώφρονα θυμὸν ἔχοις.
Ἐσθὴρ εἶδος ἔτευξεν ἐράσμιον, ἀλλά τι κείνης
Ἔργον ἀριπρεπέης, ἔθνος ἔμεινεν ὅλον.
Γραψέ ποτ' ὄμματα πόρνης Ἰεζάβελ ἀγελιόθυμος,
Λοῦσε γυμνὴν πόρνας αἵματι πορνιδίῳ.
Σοὶ δ' οὔτ' ὀργὴν ἄνακτος ἑλεῖν χόλον, οὔτ' ἐνὶ πόρναις
Μοῖραν ἔχειν, ὤ μοι φείδεο σωφροσύνης.
Οὐ ζομέεις ἱδρῆας ὑποκλίνουσα κάρηνον,
Σκηνὴν ἀμφιθέτοις εἴδεσι λαμπομένην;
Οὐ δὲ χέρας φιάσειεν, ἐπὴν ἐς μύστιν ἐδωδὴν
Τείνῃς, αἷς σὺ γράφεις πένθιμον ἀγλαΐην;
Πῶς δὲ σύ γ' ἀθλοφόροισιν, ὅσοις ἴσῃ τι χορείην
Λαὸς πανσυδίῃ τίμιον αἷμα σέβων,
Εἶδος ἄγεις πολλῶν θελκτήριον, ὡς ἀγορῆτις,
Πληθὺν ἐφελκομένη ἐν μεγάλῳ πτολίων,
Ἢ θηρῶν δείκηλον ὁμοίϊα, οἳ, προφέρουσιν
Ἑρπυστὰς σκολιῶν δειμαλέοι λαγόνων.
Ἀλλὰ γύναι, μύθοισιν ἐπιπείθεο ἡμετέροισι,
Μή σε νόος ζώσῃ χεῖρας ἐπ' εἶδος ἄγων.
Μὴ σύ γε μὴ κείνῃσιν ὁμόστολος ὦ τέκος εἴης,
Μὴ σύ γε συμφράδμων, μὴ δὲ συνωροφίη.
Ἄλλῃσιν τὰ περισσὰ, σὺ δ' ἄζεο χείλεσιν ἀνδρῶν,
Καὶ κληϊζομένη. τοῦτο γυναιξὶ κλέος.

Quemadmodum autem natatores impudentes, uiri imbelles
Simulachrum formæ intus absconsæ
Extrinsecus statuerunt: ea autem consequũt: Quæcũq; cõuenit
Saltationes, & stridulorum turpis solutio membrorum,
Viris inconsultis placentia, sic utiq; hæ
Indutæ formam extrinsecus alienam
Comicum non sacrum pudoris tegmen, inde postea
Mouentur formæ digna ingeniosæ.
Huic circum laborant fores: claues, specula,
Medicamenta ueneficæ, intremens neq; tectum
Hæc formæ picturæ inanis gloriæ, Caluitiei autem
Nihil illaboriosius temperanti splendore.
Si autem tu pulchritudine tantum inductitia insanis:
Nunq̃ inculto temperantem animum habueris.
Esther specie fuit amabilis: sed quid illius
Opus decoris? gens mansit tota.
Pinxit olim oculos scorti Iezabel animisera:
Abluit tamen scorta sanguine meretricio.
Tibi uero neq; opus regis capere iram, neq; in scortis
Partem potes. qua re mihi parcas temperantiæ
Non tremis sacerdotes declinans caput.
Tentorium utrinq; positis speciebus splendens,
Neq; manus horrent, quando in arcanam escam
Tendis: quibus tu pingis lugubrem nitorem.
Quomodo autem tu quidẽ certaminiferis, quot statuit chores
Populus passim pretiosum sanguinem colens:
Speciem agis multorum pellectiuam, ut forum quoddam
Multitudinem trahens in medio urbium.
Aut ferarum demonstratoribus similia, qui proferunt
Reptilia clandestinorum formidolosi ilium.
Sed o mulier uerbis obtempera nostris:
Nec te mens uulneret manus in speciẽ agens:
Ne tu quidem: ne illis connauigans o filia fueris:
Ne tu consilii socia, neq; contubernalis.
Aliis superflua, tu autem uereare, labiis uirorum
Et celebrata. hoc est mulieribus gloria.

Grego. N v

καὶ ἐμβάντες εἰς τὸ πλοῖον, ἤρχοντο πέραν τῆς θαλάσσης εἰς καπερ-
ναοὺμ. καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ
ἰησοῦς. καὶ ἡ θάλασσα ἀνέμου μεγάλου πνέοντος διηγείρετο. Ἐλη-
λακότες οὖν ὡς σταδίους εἰκοσιπέντε, ἢ τριάκοντα, θεωροῦσι τὸν ἰησοῦν
περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον,
καὶ ἐφοβήθησαν. Ὁ δὲ λέγει αὐτοῖς. ἐγώ εἰμι, μὴ φοβεῖσθε. ἤθε-
λον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως τὸ πλοῖον ἐγένετο ἐπὶ
τῆς γῆς, εἰς ἣν ὑπῆγον. Τῇ ἐπαύριον ὁ ὄχλος, ἑστηκὼς πέραν τῆς
θαλάσσης, ἰδὼν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἕν, εἰς ὃ ἐνέβη-
σαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι οὐ συνεισῆλθε τοῖς μαθηταῖς αὐτοῦ
ὁ ἰησοῦς εἰς τὸ πλοιάριον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον. ἄλ-
λα δὲ πλοιάρια ἦλθεν ἐκ τιβεριάδος ἐγγὺς τοῦ τόπου, ὅπου ἔφαγον τὸν
ἄρτον εὐχαριστήσαντος τοῦ κυρίου. ὅτε οὖν εἶδεν ὁ ὄχλος, ὅτι ἰησοῦς οὐκ
ἔστιν ἐκεῖ, οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν αὐτοὶ εἰς τὰ πλοῖα, καὶ
ἦλθον εἰς καπερναοὺμ ζητοῦντες τὸν ἰησοῦν. καὶ εὑρόντες αὐτὸν πέ-
ραν τῆς θαλάσσης, εἶπον αὐτῷ ῥαββεί. πότε ὧδε γέγονας; ἀπεκρίθη
αὐτοῖς ὁ ἰησοῦς, καὶ εἶπεν. ἀμὴν ἀμὴν λέγω ὑμῖν. ζητεῖτέ με, οὐχ ὅτι
εἴδετε σημεῖα, ἀλλ᾽ ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε.
Ἐργάζεσθε μὴ τὴν βρῶσιν, τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν, τὴν μέ-
νουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει. τοῦτον
γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός. εἶπον οὖν πρὸς αὐτόν. τί ποιῶμεν, ἵνα
ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ; ἀπεκρίθη ἰησοῦς, καὶ εἶπεν αὐτοῖς.
τοῦτό ἐστι τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. εἶπον
οὖν αὐτῷ. τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν, καὶ πιστεύσωμέν σοι;
τί ἐργάζῃ; οἱ πατέρες ἡμῶν, τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ. καθώς ἐστι
γεγραμμένον. ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. εἶπεν οὖν
αὐτοῖς ὁ ἰησοῦς. ἀμὴν ἀμὴν λέγω ὑμῖν. οὐ μωσῆς δέδωκεν ὑμῖν τὸν
ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ᾽ ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ
οὐρανοῦ τὸν ἀληθινόν. ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν, ὁ καταβαίνων ἐκ τοῦ
οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. εἶπον οὖν πρὸς αὐτόν. κύριε,
πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον. Εἶπε δὲ αὐτοῖς ὁ ἰησοῦς. ἐγώ
εἰμι ὁ ἄρτος τῆς ζωῆς, ὁ ἐρχόμενος πρός με, οὐ μὴ πεινάσει. καὶ ὁ
πιστεύων εἰς ἐμέ, οὐ μὴ διψήσει πώποτε. ἀλλ᾽ εἶπον ὑμῖν, ὅτι καὶ ἑω-
ράκατέ με.

